



H. P. KRAUS,
H. P. Kraus
16 EAST 46TH STREET, NEW YORK, N. Y. 10017 AREA CODE 212 MURRAY HILL 7-4808

16. Galen. Peri philosophon historias. De historia philosophorum.

(In Greek). Italy, c. 1475.

Manuscript on paper, written in brown ink, with initials, headings, and some side notes in red. 34 lines. 32 leaves (the first and last 9 leaves blank). 4to. 217 x 140 mm. Half morocco. From the collections of the Earl of Guilford and Sir Thomas Phillipps (ms. 23007 (part); from Bohn).

A work attributed to Galen (2d cent.), personal physician to the Emperors Marcus Aurelius and Commodus, and one of the most prolific authors of antiquity. He wrote on medical and philosophical subjects. It was first printed in the editio princeps of Aristotle (1497), then in the editio princeps of Galen (1525). This ms. agrees closely with the latter text, except that it has more chapter headings. There are numerous differences between it and the text of Kuehn's edition (1830).

Collation and condition

The codex collates: 1^{10}, 2^{12}, 3^{10} = 32 leaves. Ff. 1 and 24-32 are blank. There are numerous interlinear Latin glosses. The ms. is in fine condition.

Watermarks are (1) a bird, (2) a post-horn (similar to Briquet 12145 and 7697; both Naples, 1470, 1480). This may give a clue to the origin of the manuscript.

Phillipps 23007 (part)
From the Earl of Guilford.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΦΙΛΟΣΟΦΩΝ ΙΣΤΟΡΙΑΣ

Τῶν ἐξ ἀρχῆς φιλοσοφησάντων φυσιολογίαν μόνον προελομένων, εἰς τοῦτο τέλος τῆς κατ' αὐτοὺς φιλοσοφίας πεποιημένων, ἐπιγενόμενος πολλοῖς ὕστερον χρόνοις Σωκράτης· τοῦτο μὲν ἀνέφικτον φησὶν ὑπάρχειν ἀνθρώποις. *Socrates* τῶν γὰρ ἀδήλων κατάληψιν βεβαίαν εἶναι λαβεῖν τῶν χαλεπωτάτων ἐνόμισε· τὸ δὲ ζητεῖν ὅπως ἄμεινον διαιτῷτό τις, καὶ τῶν μὲν κακῶν ἀποτρέποιτο, τῶν δὲ καλῶν ὡς πλείστων μεταλαμβάνοι, τοῦτο μᾶλλον συνοίσειν, καὶ τοῦτο νομίσας χρησιμώτερον. τῆς μὲν φυσιολογίας ἠμέλησεν· ὡς οὐ πάνυ τι πρὸς τὸν χρήσιμον βίον συμβαλλομένης· ἠθικὴν δέ τινα διάθεσιν ἐπινενοηκώς, *ethica* διαγνωστικήν τε ἀγαθῶν τε καὶ κακῶν, αἰσχρῶν τε καὶ καλῶν, δικαίων τε καὶ τῶν ἐναντίων, τῆς προνοουμένης ταύτης, πάντων ἀπηλλάχθαι τῶν ἀλυσιτελῶν ἡγεῖται ἐκδίως. διὸ προσέταξε τῇ φιλοσοφίᾳ τὸ ἠθικόν. καθὸ συνεστὼς τὴν προαίρεσιν τῶν κάλλιστα ζῆν προθυμουμένων. κατιδὼν δ' ὅτι δεήσει τῶν τούτων προσποιουμένους ἀπαθῶς μεταλαχεῖν, τοῦτο δ' ἂν ὑπάρξειεν, ἀλόγους διαλεκτικοῖς φαίνοιτο, πρὸς τοὺς προσιόντας καὶ κεχρημένους τὴν διαλεκτικὴν δύναμιν διὰ τῆς πάθους ταχέως ἐπινενοηκώς, ἀπαλλαξόμεθα τῶν βλαβερῶν, ἐπελασόμεθα δὲ ἐπὶ τὰ πάντη ὠφελεῖν πεφυκότα, ὥστε διὰ τὸν Σωκράτην γενέσθαι τριμερῆ τὴν φιλοσοφίαν. πρότερον ἐπὶ τῶν φυσικοῖς μόνοις, ὃ εἴξεσθαι δοκοῦσι ταῦτ' ἀμ- οὐκ ἀρχὴν προσάπτει, ἵνα ἔκ τινος ἀρχὴν ποιησόμεθα τῶν περὶ φιλοσόφων λόγου, προυθέμεθα δὲ διαλεχθῆναι περὶ τούτων. οὐδὲν μὲν ὅσοι ζητοῦσι, τὰ δὲ ἐπὶ

τῶν πρὸς ἀπόδειξιν εἰρημένα συνάγοντες. σαφῶς τε
καὶ συντόμως, σπουδάσαντες περὶ τούτων διαλεχθῆναι,
ἵνα οἱ φιλομαθεῖς τούτοις προσεντυγχάνοντες,
μὴ δέωνται τῶν ἐξηγουμένων· ἀλλὰ δι' ἑαυτῶν γινώσκοιεν
τὰ καθ' ἕκαστα τῶν εἰρημένων σαφέστερον. ἀσφαλέ-
στερον δὲ πειρασόμεθα περὶ τούτων εἰπεῖν, τὰ σοφιστικὰ
καὶ πάνυ κεκομψευμένα, τῆς διαλεκτικῆς παρελκυ-
θέντες. οὐ γὰρ ἐπιδείξεως ἕνεκα προενοησάμεθα
τῆς περὶ τούτων σπουδῆς, ἀλλὰ χρήσιμον ποιῆσαι
βουληθέντες τοῖς ἐκ φιλοσοφίας λαβεῖν τι χρήσιμον
ἐγνωκόσι. οἱ νομίζοντες φιλοσοφεῖν, οὐ μόνον
τοὺς τὰ τρίβωνια περιειλημμένους, ἀλλὰ καὶ τοὺς
πρόσοδον ὁμοίαν τοῖς πολλοῖς ἐργασαμένους, τὴν δὲ
ἄνοιαν φιλοσοφωτέραν εἶναι σπουδάσαντες φασίν.
ἁπλούστερον δέ. ὅσα παρὰ τῶν πεπαιδευκότων
ἡμᾶς ἀκηκόαμεν, καὶ διὰ γραμμάτων ἐμάθομεν,
ῥῶν συναθροίσαντες ἐπιχειρήσομεθα. ἵνα ἐξ ἁπάντων
ἔχῃ τι γινώσκειν. πόθεν ἡ φιλοσοφία πρῶ-
τον μὲν ἐς τοὺς Ἕλληνας παρελήλυθε. καὶ τίνας οἱ
ταύτην εἰσαγαγόντες. καὶ τοὺς δοκοῦντας κατὰ τὴν
αὐτὴν διενηνοχέναι τῶν ἐπὶ ταῦτα πεπραγμένων.

Ἔστι τοίνυν ὁ πρῶτος ὑπὸ τῶν πλείστων ὑπειλημμένος
τὸν φιλόσοφον τρόπον, ἐς τοὺς Ἴωνας εἰσηγητής,
Thales Θαλῆς ὁ Μιλήσιος. διόπερ καὶ τὴν κατ' ἐκεῖνον φιλο-
σοφίαν Ἰωνικὴν ἅπαντες ὀνομάζουσι. τούτου
Anaximander γνώριμος Ἀναξίμανδρος γέγονεν, ὁμοίως φιλο-
Anaximenes σόφων γέγονεν. καὶ τὸν Ἀναξιμένην μετὰ ταῦτα
ζηλωτὴν εἶναι τῆς τοιαύτης προαιρέσεως πεποι-
Anaxagoras ηκὼς, Ἀναξαγόρου καθηγητὴν γενέσθαι παρεσκεύα-
σεν. οὗτος δὲ τὴν μὲν Μίλητον ἀπολελοιπὼς ἧκεν

ἧκεν

ἀπὸ τῶν ἀθηνῶν (?) ... τὸν ἀρχέλαον ἀθηναῖον πρῶ-
τον ἀπὸ φιλοσοφίας παρωσάμενος. οὗτος δὲ σωκράτης
ἀκροατὴς καταστὰς πολλοῖς τῶν ὕστερον γεγονότων,
καὶ τῶν κατ' αὐτὸν αἴτιος τοῦ φιλοσοφεῖν ἀλλ' ἐκείνων ὡς
γεγονότων τῶν ἐπιγινομένων σχεδὸν ἁπάντων, ὡς ἀπὸ
φιλοσοφίας ἐπιθυμητὰς ἀπέφηνε. τῶν δὲ σωκρα-
τικῶν πολλῶν γεγονότων, ἀναγκαῖον ἐστὶ μόνον ποιή-
σασθαι μνήμην τῶν κατὰ διαδοχὴν λελοιπότων. πλάτων
τοίνυν μάλιστα διενηνοχὼς τῶν ἄλλων ἐπὶ φιλοσο-
φίᾳ ἐλθὼν, ὥσπερ φαίη τις ἀνεπίφθονον τὴν σωκρα-
τικὴν μαθητείαν (?) παρεβάλετο (?), τῆς ἀρχαίας λεγομένης ἀκα-
δημίας κατῆρξε διαβεβοημένος· σπεύσιππος μὲν
οὖν χρόνον τινὰ βραχὺν ἐπὶ τῆς αὐτοῦ προαιρέ-
σεως διαμεμένηκεν, ἀρθριτικοῖς δὲ νοσήμασι
πεσὼν, ξενοκράτει ἀντ' αὐτοῦ κατέσχεν τῶν πλατωνικῶν
δογμάτων σχολήν (?). μετὰ δὲ τοῦτον πολέμων.
ἐπεὶ δὲ αὐτὸς ἦν ἐπὶ τοὺς λόγους τῶν πλάτωνος, καὶ
κράντορος ἀκουστὴς ἦν ἀρκεσίλαος. ὃς τὴν μέσην
ἀκαδημίαν ἐπινενόηκεν, ὅστις μέχρι σιγῆς ἐ-
πινενόηκε. τούτου δὲ καρνεάδης κατέσχε διαδοχὴν
τῆς μέσης ἀκαδημίας. τὰς ἀρχὰς δὲ συνεώρακε
κλειτόμαχος μετ' αὐτόν (?). εἰσὶ δὲ πρὸ τούτων πᾶσαι
ἀκαδημίαι δύο νεώταται. ὧν τῆς μὲν προτέρας
προέστη φίλων. ἀντίοχος δὲ τῆς ἐφεξῆς.
ἡγοῦμαι δὲ τῶν σωκρατικῶν ἀντισθένην, πάνυ πο-
λλῶν γενομένων οὐδὲν ἧττον λέγειν, καταδεέστερον δὲ
ὃς τὴν κυνικὴν ἀπὸ τοῦ βίου συνήγαγεν. οὗ διογένης
γέγονε ζηλωτὴς προσομοιωθεὶς κατὰ τὰ ἐπιτη-
δεύματα. τούτου δὲ ζήνων ὁ κιτιεὺς ἠκηκοὼς,
ὃς τινὰ στωϊκὴν φιλοσοφίαν ἐξεῦρε. οὗ μετη-
λλάχθαι (?) τῶν λόγων κλεάνθης καὶ τοῦτον χρύσιππος

Archelaus · Socrates · Plato · Speusippus · Xenocrates · Polemon · Arcesilaus · Carneades · Clitomachus · Philon · Antiochus · Antisthenes · Diogenes · Zeno · Cleanthes · Chrysippus

[Diogenes babylonius] ἀκροώμενος τῶν ὁμοίων αὐτὴν μετελήλυθε. τοῦ δὲ Διο-
[Antipater] γένους ὁ Βαβυλώνιος ἀκροατὴς γέγονε, Ἀντίπατρος
[Aristippus] καθηγητὴς γέγονε. τούτου Ἀρίστιππος ὁ Κυρηναῖος,
ὃς τῆς Σωκρατικῆς ἀκροάσεως μετέσχε. ἀφ' οὗ τὴν Κυ-
ρηναϊκὴν φιλοσοφίαν ἔσχομεν. ἀλλ' οὐδὲ τὴν Μεγα-
ρικὴν δίκαιον παρελθεῖν, ὃς τῶν Σωκρατικῶν οὐδενὸς
[Stilpon] δεύτερος τὴν διάνοιαν γέγονε. ὡς Στίλπων
τῶν Μεγαρικῶν τῶν αὐτῶν δογμάτων ἀρχηγὸς ἦν. πεμφθὲν
[Pmenides] τοῦτον. τοῦτον δὲ Παρμενίδης ὁ Ἐρετριεὺς διε-
δέξατο. ἀφ' οὗ Ἐρετρικὴ φιλοσοφία ἐπιδέδωκεν.
[Phedon] Φαίδωνα τὸν Ἠλεῖον οὐδ' ὡς ἀγνοῆσαι τῶν Σωκρατικῶν
ὡς πρὸς ἡμᾶς ὑπείληφα. ὅ τε Ἀνάξαρχος
ὁ Ἀβδηρίτης τῶν λόγων ὡς μνήμην ἀφικόμενος τῷ
[pyrrho] Πύρρωνι καθηγήσατο, σκεπτικῆς οὔσης φιλοσοφίας.
[ARISTOTELES] Ἀριστοτέλης δὲ Πλάτωνι πάνυ πολὺν χρόνον
συνδιατρίψας δόγμα ἕτερον ἑαυτοῦ προενήνοχε.
[theophrastus] ὅ τε Θεόφραστος προέστη σαφῶς τῆς κατ' αὐτὸν αἱρέ-
[Strato] σεως. καὶ τὸν Στράτωνα πρόσηγε ὡς ἴδιόν τινα
[Epicurus] χαρακτῆρα φυσιολογεῖ. Ἐπίκουρος καὶ τὰ πολλὰ
εἰς ὅσα ὥς τινα ὑπάληψιν, τῆς κατὰ φιλοσο-
φίαν σεμνότητος, ἐπί τινα τρόπον μετελήλυθε.
οὐ πάνυ παρὰ τῇ ἀκριβείᾳ τῶν φιλοσόφων ὡς
[Metrodorus] δοκιμώτατον. τούτου δὲ Μητρόδωρος ἠκροάσατο.
Εἰσὶ δὲ τῶν γενικωτέρων φιλοσοφιῶν εἴδη δύο.
[Italici phi.] τινὲς μὲν Ἰταλιῶται. ὧν Πυθαγόρας ἀρχηγὸς
[Pythagoras] γέγονεν ὁ κατὰ τὴν ἐλαίαν ἀκμάσας. τοῦ δὲ
[Xenophanes] λέγεται κατάρξαι Ξενοφάνης ὁ Κολοφώνιος.
ἀπορητικῆς μᾶλλον ἢ δογματικῆς τοῖς πολλοῖς
εἶναι δοκούσης. μετὰ δὲ τοῦτον τῶν αὐτῶν βουλή-
[pmenides] μασι κατέσχηθαι ὁ Παρμενίδης, οὗ τῶν ἀθα-

γενέσθαι ἀποβεβήκει δοκεῖ. Ζήνων δὲ ὁ Ἐλεάτης τῆς ἐριστικῆς φιλοσοφίας ἀρχηγὸς μνημονεύεται γενόμενος, τούτου δὲ Λεύκιππος ὁ Ἀβδηρίτης ἀκουστὴς τὴν τῶν ἀτόμων αἵρεσιν ἐπινενόηκε πρῶτος. Δημόκριτος δὲ παρ' αὐτοῦ τὸ δόγμα παραλαβὼν μᾶλλον ἐκράτυνε. οὗ Πρωταγόρας ὁ Ἀβδηρίτης ζηλωτής, ὃς καὶ συνεστήσατο τὴν φιλοσοφίαν τέχνην. ὠνομάσθη δὲ τῆς φιλοσοφίας ὥσπερ ἃ κατ' Ἐπίκουρον συμβέβηκεν ἐκ τέλους καὶ δόγματος, ὥσπερ ἡ εὐδαιμονική. ὁ γὰρ Ἀνάξαρχος τέλος τῆς κατ' αὐτὸν ἀγωγῆς τὴν εὐδαιμονίαν ἔλεγε. ἡ δὲ ἐξ ἐνεργείας, ὥσπερ ἡ περιπατητική· τὸ γὰρ Ἀριστοτέλην κατὰ τοὺς περιπάτους συνουσίας πρὸς ὁμιλητὰς ποιούμενον, τῆς ἐπωνυμίας ταύτης κατηξιῶσθαι τὴν κατ' αὐτὸν φιλοσοφίαν. αἱ δὲ διέργασαν ὡς ἡ κυνική. ἡ δ' ἐκ πράξεως διαλεκτική. ἡ δ' ἀπὸ τόπων ὡς στοϊκή, καὶ ἀκαδημαϊκή. αἱ δ' ἀπὸ διαθέσεως ὡς σκεπτική. αἱ δ' ἐξ ἀνδρὸς καὶ δόγματος ὡς ἡ κατὰ Ἀρίστιππον ἡ ἀπὸ τοῦ ἀρχηγοῦ. κυρηναϊκὴ δὲ ἀπὸ τῆς πόλεως ἐκείνου μετάχθη. ἡδονικὴ δὲ ἀπὸ τοῦ τέλους τῆς κατ' αὐτὸν φιλοσοφίας, τὸ γὰρ Ἀρίστιππον τὴν ἡδονὴν προσκεκλῆσθαι μάλιστα τἀγαθὸν ὑπειληφότα. περὶ λογικοῦ :—

Τὸ λογικὸν μέρος τῆς φιλοσοφίας ὕστερον γενόμενον προτετάχθαι, ἤτοι τῷ δεῖν τοὺς μέλλοντας ἀκριβῶς φιλοσοφεῖν μὴ πρότερον τοῖς ἄλλοις μέρεσιν ἐπιχειρεῖν, πρὶν ἔτι τούτου ἕκαστον δεῖ γνῶσκειν. οἱ μὲν γὰρ ἔφασαν τὴν φιλοσοφίαν εἶναι δύναμιν γνωστικὴν καὶ περὶ ποιητικὴν ἀρίστου βίου. ἄριστον βίον ἄπορον τὸ ζῆν κατ' ἀρετήν. οἱ δὲ ἄσκησιν λόγοις ἀρίστοις, ἐπιτηδεύσει δὲ τέχνην τὴν σοφίαν νομίσαντας, ἥτις ἐστὶ κατάληψις θείων τε καὶ ἀνθρωπίνων

Zeno eleates

Leucippus

Democritus

protagoras

πραγμάτων· τοὺς δὲ τὴν θεωρητικὴν ἕξιν ἀρετὴν καὶ φερόντων ὑπέλαβον χρῆναι μᾶλλον ὀνομάσαι· ἀρετὰς μὲν τὰ ἀγαθὰ, φήσαντες εἶναι, φαῦλα δὲ τὰ κακά· τὸ ἀγαθὸν τὸ δι' ἑαυτοῦ ἀρετῆς ὠφελείας τῷ μετιόντι γινόμενον αἴτιον, κακὸν δὲ τὸ δι' ἑαυτοῦ ἐγκλινόμενον, βλάβης καθιστάμενον αἴτιον :—

περὶ τῶν μερῶν τῆς φιλοσοφίας

Μέρη δὲ τῆς φιλοσοφίας κατὰ τοὺς πλάτωνος ἀκολούθους εἶναι τὸ κοινότατα τρία παρειλήφαμεν. Τὸ μὲν λογικὸν, δι' οὗ καταμανθάνομεν τί τῶν ὄντων ἕκαστον οὐσίᾳ, καὶ κατὰ συμβεβηκὸς, καὶ τὰς διαφορὰς τούτων πρὸς ἄλληλα, καὶ τὰ τοιαῦτα γινώσκομεν, ὡς καὶ τὸ φυσικὸν, δι' οὗπερ οἷοί τε καθορᾶν τὴν αἰτίαν τῶν τάξει προσιεμένων τῶν οὐρανίων τὴν κίνησιν, ὅσα φαίνεσθαι δοκεῖ, καὶ τίνα αὐτῶν τάχιστα ἢ βραδύτατα πρὸς ἄλληλα· καὶ ὅσα τούτων ἐστὶν ὅμοια, καὶ τὰ περὶ πάντων ἀναγκαῖα καὶ τοῖς ἐπιτηδεύμασι χρήσιμα. Τὸ ἠθικὸν, δι' οὗ μανθάνομεν ἀλλήλοις ὁμιλεῖν καὶ συμβαίνειν πρὸς ἡμᾶς· καὶ τοὺς μὲν θρασύτητι ὑπερορᾶν, ὧν μισοῦμεν, ἀλλὰ γελῶμεν καὶ ἐλεοῦμεν· τοὺς δὲ σπουδαιοτάτους καὶ ἐπὶ τὸ ἀκαταστατοῦν ἐργοῦντας. Τούτοις μὲν οὖν τὸν βίον ἑαυτῶν καὶ βελτίονα τὰς πρὸς ἀλλήλους ἐντεύξεις ποιούμενοι. Ἕκαστον δὲ τὸ ἦθος διὰ προόδου καὶ παντάπασιν ἐν ἀνομιλήτῳ τὸν βίον ἀπεργαζόμενον.

περὶ αἱρέσεως

Τὴν αἵρεσιν ὑπολαμβάνουσι τινὲς λέγεσθαι τριχῶς, κοινῶς, ἰδίως καὶ ἰδιαίτατα. Κοινῶς μὲν τὴν ἐν παντὶ πράγματι κατὰ τὸν βίον συγκατάθεσιν· ἰδίως, τὴν ἐν τέχνῃ· ἰδιαίτατα δὲ τὴν ἐν τῇ φιλοσοφίᾳ. Κατ' ἐννοίας δὲ τὴν αἵρεσιν εἶναι πρόσκλησιν δογμάτων πολλῶν

πρὸς ἄλληλα σύμφωνον οἷον περὶ ὧν ἓν τέλος ἀναφέροντα:— Πόσαι αἱρέσεις

Τέσσαρας δὲ εἶναι ταύτας γενικῶς νομίζουσιν οἱ περὶ τοῦτον διειληφότες· μίαν μὲν δογματικὴν τὴν πολλοῖς κατατιθεμένην· καὶ βεβαιοτέραν δὲ τὴν σκεπτικὴν τὴν περὶ πάντων ἐφεκτικήν· πρὸς δὲ τούτοις τρίτην εἶναι τὴν σοφιστικὴν· τὴν διὰ σοφισμάτων νίκαν ἐν τῇ ζητήσει ἐσπουδακυῖαν. Τί ἐστι σόφισμα

Σοφίσματα δὲ τὰ τοιαῦτα νομίζουσιν· οἷον ὅπερ εἰμὶ ἐγὼ οὐκ εἶ σύ· ἄνθρωπος δὲ εἰμί· ἄρα οὐκ ἄνθρωπος εἶ σύ. καὶ τοὺς τοιούτους ματαίους λόγους καὶ ἐριστικούς. Τί ἐστιν αἵρεσις μικτή.

Μικτὴν δὲ αἵρεσιν προσεῖπον τὴν ποσῶς μὲν δόγμασι συγκατατιθεμένην· περὶ πολλῶν δὲ ἀπορητικὴν καὶ μὴ κατὰ πάντα διεξιοῦσαν συγκαταθετικῶς. εἶναι δὲ δογματικοὺς καὶ τοὺς ἐπικουρείους προσειρημένους. σκεπτικοὺς δὲ ἔγνωμεν τὸν ἐλεάτην καὶ ἀνάξαρχον τὸν ἀβδηρίτην, καὶ τὸν ἄλλων ἠκριβωκότα τὴν ἀπορητικὴν ἀπολαυθέντα Πύρρωνα· ἐριστικοὺς δὲ κεκλήκασι Κλείνιον καὶ τὸν Μενέδημον καὶ Κλειτόμαχον. τοὺς δὲ τὴν μικτὴν αἵρεσιν μετεληλυθότας ὑπάρχει· Ξενοφάνην μὲν περὶ πάντων ἠπορηκότα· δογματίσαντα δὲ μόνον τὸ εἶναι τὰ πάντα ἓν καὶ τοῦτο ὑπάρχειν θεὸν πεπερασμένον λογικὸν ἀμετάβλητον. Τὸν δὲ Δημόκριτον ὁμοίως· τὰ μὲν τῶν ἄλλων μηδὲν ἀποφηνάμενον· ἓν δόγμα δὲ καταλελοιπότα τὸ περὶ ἀτόμων καὶ τοῦ κενοῦ καὶ τοῦ ἀπείρου:— Τίς ἀρχὴ φιλοσοφίας.

Ἡ ἀρχὴ λέγεται τριχῶς· ἡ μὲν ὡς αἰτιώδης· ἡ δὲ ὡς ἐν προτάσεως συστάσεως· ἡ δὲ ἀποδείξεως. Αἰτιώδης μὲν οὖν ἐστὶν ἀρχὴ ὅταν ζητῶμεν τί αἴτιον

τὸ πεποιηκὸς εἰς ἐπίνοιαν τοὺς πρώτους ἐλθόντας φιλο-
σοφίας. ἐν γὰρ πρώτῳ δὲ στάσεως ὅταν ζητῆς τῶν
ποῖον μέρος πρῶτον ἐκ τέχνης συνέστηκεν· ἀπόδειξις
δὲ ὅταν τὰ ὑφ' ἡμῶν κατασκευαζόμενα ἀποδείκνυμεν.
αἰτία δὲ φιλοσοφίας ζητήσεως ἐστὶ κατὰ μὲν Ἰσο-
κράτην, τὸ ταραχῶδες τοῦ βίου καταπαῦσαι
τῶν πραγμάτων :— περὶ σημείων :—

Σημεῖον τοίνυν οἱ μὲν διαλεκτικοί φασιν ἐν ὑγιεῖ συν-
ημμένον καὶ ἡγούμενον ἐκκαλυπτικὸν τοῦ λήγοντος.
τῶν δὲ σημείων τὰ μέν ἐστιν ἐνδεικτικὰ τὰ δὲ ὑπο-
μνηστικά. ὑπομνηστικὸν μὲν οὖν ἐστιν ὅπερ συμπε-
ριτεθὲν τῷ σημειωτῷ ἅμα φανέντι τὸ σημεῖον
καὶ τοῦ σημειωτοῦ εἰς γνῶσιν ἡμᾶς ἄγει· ὁποῖόν ἐστι
ἐπὶ καπνοῦ. τοῦτο γὰρ ἰδόντες εὐθὺς γινώσκομεν
ὅτι ἐκ πυρὸς γεγονός ἐστιν. ἐνδεικτικὸν δὲ ἐστὶ σημεῖον
ὃ μὴ πρότερον συμπεριτεθὲν τῷ σημειωτῷ τοῦ
διαφανέντος εἰς γνῶσιν ἀφικόμεθα τοῦ σημειωτοῦ ὥσπερ
ἐπὶ τῆς γάλα ἐχούσης εὐθὺς γινώσκομεν ὅτι τέτοκεν αὕτη.

περὶ συλλογισμοῦ :—

Συλλογισμὸς δέ ἐστι λόγος ὁ δοθέντων ἀποκειμένων ἐκ
τῶν διαλεγομένων συνάγων συμπέρασμα ἀπρο-
σδόκητον. ὡς ἐν τῇ πολιτείᾳ παρὰ Πλάτωνι.
τοῦ γὰρ Θρασυμάχου εἰρηκότος ὅτι τὸ δίκαιον
ἐστὶ τοῦ κρείττονος συμφέρον αὐτῷ προσάπτουσι ποιεῖν.

περὶ ὅρου

Ὅρος ἐστὶ λόγος σύντομος εἰς γνῶσιν ἡμᾶς ἄγων
ἑκάστου πράγματος ἢ λόγος διὰ βραχείας ὑπο-
μνήσεως ἐμφανῶς ἡμῖν ἀπεργαζόμενος τὸ ὑποκεί-
μενον πρᾶγμα. τὸν δὲ ὅρον οἱ μὲν οὐσιώδη,
οἱ δὲ ἐννοηματικόν. περὶ κριτηρίου

Κριτήριον ἐστὶ πραγμάτων διαγνωστικὴ κατανόησις. κρι- | indicabile

τικὸν δὲ ἐστὶ δίττον· τὸ τε ᾧ κρίνοντες οἱ χρώμενοι βιοῦμεν καὶ τὸ περὶ

ἐστὶ ὑπάρξεως καὶ ἀνυπαρξίας. λέγεται δὲ κριτήριον τριχῶς. κοινῶς

ἰδίως καὶ ἰδιαίτατα. περὶ ἀληθοῦς

Ἀληθές ἐστι τὸ ἀντικείμενον τινί· διηλλαγμένον δὲ τὸ

ἀληθὲς τῆς ἀληθείας τριχῶς· οὐσίᾳ, συστάσει,

δυνάμει. οὐσίᾳ μὲν ἐπεὶ τὸ ἀληθὲς ἀσώματόν ἐστι·

ἀξίωμα γάρ ἐστι καὶ λεκτόν· ἡ δὲ ἀλήθεια σῶμά ἐστι. — ἔχον

ἐπιστήμη γὰρ πάντων ἐστὶ ἀληθῶν δὲ ἐπιστήμη· περὶ ἡ- : ἀποφαντικὴ ἡ δὲ

γεμονικὸν πως ἔχον εἶναι δοκεῖ ὅπερ σωματοποιεῖ μάλιστα + ὥσπερ ἡ περιέχουσα

λὶν ἀκοὴ ὡς δοκεῖν. ἡ συστάσει δὲ διήλλακται ταῦτα. γὰρ ἐπιστήμη.

ὅτι τὸ μὲν ἀληθὲς δῆλον εἶναι. οἷον ἐγὼ διαλέγομαι

τὴν ἀλήθειαν, ἡ μὲν ὡς ἐπὶ τὸ περιληπτικὴν οὖσαν ἀ-

ληθῶν πάντων. δυνάμει δὲ ἐξήλλακται. ὅτι τὸ μὲν

ἀληθὲς καὶ φαύλῳ τινὶ ἐπιγίνεσθαι· λέγει γὰρ ποτὲ

καὶ ὁ μὴ πάνυ σπουδαῖος· τὴν δὲ ἀλήθειαν μόνην

ἐμπρέπον εἶναι τοῖς σπουδαίοις προσώποις. περὶ διαιρέσεως

Διαίρεσιν ὑπολαμβάνουσι χρεῖον εἶναι τῶν συγ- que generent

χυθέντων ἐξ ἑνός. διαιρεῖσθαι δὲ νομίζουσι τὰ ὀνόματα εἰς

σημαινόμενα καὶ ὅλον εἰς μέρη καὶ τὰ μέρη καὶ γένη εἰς

εἴδη καὶ διαφορὰς εἰς καθ' ἕκαστα καὶ εἰς συμβεβηκότα.

περὶ φύσεως

Φύσιν τινὲς εἶναι λέγουσι πῦρ ἔντεχνον ὁδοποιητικόν. via faciens

ἄλλοι δὲ τὴν τῶν σωμάτων ἀσκείωσιν εἶναι καὶ διακείσθαι ...

τὴν φύσιν ὑπολαμβάνουσι. ἀριστοτέλης δὲ ἀρχὴν

τῆς κινήσεως καὶ ἠρεμίας. ἄρχει ὡς πρῶτον οὐκ ἔστι

συμβεβηκὸς γεγενῆσθαι νομίζων· φυσικὰ δὲ εἶναι

λέγει τὰ περὶ τὸν ἀέρα· φυτὰ καὶ τὰ ζῶα καὶ τὰ

τοιαῦτα. περὶ διαφορᾶς στοιχείων καὶ ἀρχῶν

Οἱ μὲν ἀπὸ ἰωνίας φιλοσόφων οὐδὲν διαλλάττειν differre

αὐτὰ νομίζουσι. πλάτων πλεῖστον διεῖργειν οἴεται

ταῦτα κέκληκε· ... ἀρχὰς γὰρ οὐδὲν εἶναι πρότερον ἀφ' οὗ γεννᾶσθαι ταῦτα· συμβέβηκε γὰρ δὲ στοιχεῖα πρότερον εἶναι τὴν ἄδηλον καὶ ἄμορφον οὐσίαν. ἣν οἱ μὲν ἄποιον ὕλην. οἱ δὲ ἐντελέχειαν καὶ στέρησιν ὀνομάζουσιν. ἔτι δὲ τὰ μὲν στοιχεῖα οἱ μὲν σύνθετα καὶ ἀποτελέσματα· τὴν δὲ ἀρχὴν οὐδετέραν τούτων ὑπάρχειν ὥσπερ εἰκότως ὁ Πλάτων τὴν ἐν τούτοις πολλὴν ἀλλαγὴν καταληφθεὶς ἀποφαίνεται :—

ὕλη, ἐντελέχεια, στέρησις

περὶ κινήσεως

Τὴν κίνησιν σχεδὸν τῶν φιλοσόφων πάντες οἱ ἀκριβέστατοι γίνεσθαι νομίζουσι, κατὰ τὸ πῶς μὲν τοπικὴν μετάβασιν ὅταν ἐξ οἰκείων τόπων γένηταί τις. τὴν διαφύσεως ὅταν ἐξ ὄντος πρὸς τὸ μὴ εἶναι καθίσταται. καθάπερ ἐπὶ τῶν ἀπογιγνομένων ζώων· τὴν δὲ αὐξητικὴν ἀπὸ βραχέος τι πρὸς τὸ μεῖζον προΐεται. τὴν δὲ μειωτικὴν ὅταν ἐκ μείζονος βραχύνεταί τι καὶ πρὸς τὸ ἔλαττον μεθαρμόζηται.

περὶ σώματος

Σῶμα τινῶν ὑπολαβόντων τὸ ἅμα ποιεῖν ἅμα πάσχειν ἕτεροι τὸ τριχῇ διαστατὸν μετὰ ἀντιτυπίας τὸ σῶμα καθεστάναι φασί· εἶναι μὲν τὸ σημεῖον, οὗ μέρος οὐδέν· ἐπιφάνειαν δὲ τὸ μῆκος καὶ πλάτος μετέχον. τοῦτο δὲ ὁπότε μέγεθος προσλάβῃ σῶμα νομίζουσιν εἶναι. τινὲς δὲ τὰ πέρατα σώματα ὑπειλήφασιν :—

περὶ ψυχῆς

Πολλὴν μὲν οὖν ἀεὶ καὶ ἔαν παρὰ τοῖς πρότερον οἶδα ζήτησιν τῆς ψυχῆς γενομένην. ἀλλ' οὖν ἵνα μὴ τὸν τῆς εἰσαγωγῆς τε ὅρον ὑπερβαίνειν δοκοῦμεν, τὰ πολλὰ εἰρημένα περὶ ταύτης διεξιόντες, ὅσα γὰρ τοῖς ὀνομαστοτάτοις εἰρῆσθαι περὶ ταύτης νομίζουσιν, ὡς ἐν βραχέσι παραδοῦναι λέγειν: ψυχὴν τοίνυν οἱ μὲν πρῶτα παντὶ τῷ σώματι περικεχυμένην. ὅπου μὲν μᾶλλον ὅπου δὲ ἧττον εἶναι νομίζουσι

οὗτοι δὲ οἱ περὶ τὸν ἀσκληπιάδην ἀσίν· ἄλλοι δὲ
δύναμιν δι' ἧς ζῶμεν· οἱ δὲ κινήσεως ἀρχὴν
πάντων τῶν γιγνομένων τε καὶ ὄντων. ἐπίκουρος δὲ
τὸν ἐφελκόμενον ἀέρα διὰ τῆς ἀναπνοῆς τὴν ψυχὴν
ὑπέλαβε. τὴν δὲ οὐσίαν ταύτης οἱ μὲν ἀσώματον ἔ-
φασαν ὡς πλάτων· οἱ δὲ σῶμα συγκρινοῦν ὡς
ζήνων καὶ οἱ ἐξ αὐτοῦ. πνεῦμα γὰρ εἶναι ταύτην ὑπε-
νόησαν καὶ οὗτοι. θνητὴν μὲν τὴν ψυχὴν ὡς ἐπίκουρος
καὶ δίαρχος ᾠήθησαν· ἀθάνατον δὲ ὡς πλάτων
καὶ οἱ στωϊκοί· ἀλλ' ὁ πλάτων ἀεικίνητον καὶ οὐδέ-
ποτε διαφθαρησομένην· οἱ στωϊκοὶ δὲ καθ' ἑκάστην
τοῦ κόσμου μεταβολὴν διαμένειν ἀθάνατον, ἕως ἂν
ἡ τοῦ κόσμου μεταβολὴ συμβᾶσα εἰς ταύτην τύχῃ δι-
αφθαρῆναι. τοῖς δὲ σώμασι συνδεῖσθαι νομίζουσι
οἱ μὲν αὐτοφυῶς ἢ κοῦ κεκρατημένας οὔσας ὥστε πάντας
πασχούσας τῇ ἐπιθυμίᾳ ἡδονῶν τῶν διὰ τῶν σωμάτων
αὐταῖς προσγινομένων· οἱ δὲ κατὰ θεὸν ἐπιγίνεσθαι
τοῖς σώμασι βουλομένων, μηδὲν τῶν στοιχείων ἄρτι
μηδὲ ἔξω τῶν ἀμαυρὸν εἶναι διὰ τέλους. ἐξαμαρτάνειν
δὲ τὰς ψυχὰς οἱ μὲν αὐτεξουσίους οὔσας ἢ δι' ἀθέτους
ἐπιθυμίας ἐπὶ τὸ πλημμελὲς τρεπομένας· τῶν θ-
εῶν γὰρ οὔσας ὀρεκτικὰς διὰ τὸ τοῦ καθ' ἕξιν μηδὲ
διαδέχεσθαι τὰς φαυλότητας τῶν ἀτόπων εἶναι νομι-
ζομένων· οἱ δὲ κατὰ εἱμαρμένην πάντα νομίσαντες
συμβαίνειν καὶ τὴν ψυχὴν ἀπροαιρέτως τὴν πλημμελῆ
μας ἐπισυμβαίνειν νομίζουσι. ὁδὸν δὲ δίκην τῶν
πονηροτάτας τῶν σωμάτων ἀπαλλαττομένων ὁ πλάτων
οἴεται· καὶ τὰς ἀμαυρὸν βεβιωμένας εἰς θεὸν ἀνα-
πέμπεσθαι καὶ τὸν ἀέρα ἐγκαταλείπεσθαι· στωϊκοὶ
δὲ τοῦτο οὐδὲν προσιέμενοι, ἀλλ' ἐπὰν ἀποχωρισθῶσι

Epicurus

Plato

Zeno

τῶν σωμάτων φασὶ τοὺς ἀκρατεστέρους κατὰ τὰς ἡδέων ἐπιθυμίας αὐτοὺς ἐφιεμένους τῶν διὰ σωμάτων ἡδονῶν προσγινομένων ἐκ καταδύεσθαι πάλιν τοῖς σώμασιν ἐξ ἀρχῆς. καὶ μηδέποτε παύεσθαι τούτοις περιπίπτοντας, ἕως ἂν παιδεύσει τῇ προσηκούσῃ τύχωσι· τοὺς καλῶς δὲ τὰς γνώσεις ἀφικομένους ἄριστον ἕξουσι βίον καὶ μετὰ τὴν διάλυσιν καὶ τὴν ἀπαλλαγὴν τοῦ σώματος σπουδαίων δεομένους ἰδέας μετελθοῦσαν πᾶσ ἀγαθοὺς καὶ μετὰ ταῦτα διὰ παντὸς οὕτως τὴν πάλιν οὕτως δὴ ἀγομένους :—

Πόσα μέρη τῆς ψυχῆς

Εἶναι δὲ τὰ μέρη τῆς ψυχῆς Πλάτων μὲν τρία νενόμικεν λογικὸν θυμικὸν καὶ τὸ ζωτικόν. Στωικοὶ δὲ ὀκτὼ μέρη τῆς ψυχῆς εἶναι φασὶ λογικὸν αἰσθητικὸν φωνητικὸν σπερματικόν. τινὲς δὲ τὴν ψυχὴν ἁπλῆν καὶ ἀμερῆ τὸν χαρακτῆρα εἰρήκασιν οὐδὲν γὰρ ἄλλο τὴν ψυχὴν ὑπολαμβάνουσιν ἢ φρόνησιν ὑπάρχειν, ἣν καὶ νοῦν καὶ νόησιν προσειρήκασι· μερεμάχος δὲ τῶν στωικῶν ὑποκεῖσθαι τὸ φωνητικὸν τὸ σωματικὸν περιέλαβε, οἷα δῆθεν τῆς αἰσθητικῆς δυνάμεως ταῦτα μετέχει. μέρη δὲ τῆς ψυχῆς ὡς ἁπλῶς τὸ λογικὸν καὶ τὸ αἰσθητικόν, ὧν ὁ μᾶλλον ἄλλως συγχωρεῖσθαι ἀλλοίως.

Περὶ ἰδέας

Ἰδέαν εἶναι σώματος οὐσίαν ὑφεστῶσαν μὲν αὐτὴν καθ᾽ αὐτήν, εἰκονίζουσαν δὲ τὰς ἀμόρφους ὕλας καὶ αἰτία γινομένη. Πλάτων δὲ χωρὶς ὅσον δυνατὸν τοῖς νοήμασι καὶ ταῖς φαντασίαις ζητεῖ τοῦ θεοῦ. Ἀριστοτέλης δὲ ἄλλα μὲν καὶ ἰδέας ἀπέλιπεν οὐ κεχωρισμένας τῆς ὕλης. οἱ Στωικοὶ δὲ ἐννοήματα ἡμέτερα ἰδέας εἶναι νομίζουσι.

Περὶ ἐλαχίστων

Τῶν τεσσάρων στοιχείων πράγματα βραχύτατα, οἳ στοιχεῖα ἀπὸ στοιχείων ἢ ψήγματα νομίζουσιν εἶναι

τι γὰρ τὰ λεγόμενα ἐλάχιστα. ἡράκλειτος ψηγμάτιά τε
ταῦτα νοήσας μόνον λεπτά :— περὶ χρωμάτων

Χρῶμά ἐστι ποιότης σώματος ὁρατή. οἱ δὲ πυθαγόρειοι
οὐδὲ οὐδὲ χρῶμα ἐκάλουν τὴν ἐπιφάνειαν
τοῦ σώματος. ἐμπεδοκλῆς δὲ τὸ τοῖς πόροις τῆς
ὄψεως ἁπάντων σύμμετρα μόρια ἔχον πρὸς τὴν ὄψιν.
ζήνων δὲ ὁ στωϊκὸς τὰ χρώματα ἐπιχρῶσιν τῆς ὕλης
ἀπέλαβε. οἱ δὲ ἀπὸ πυθαγόρου τὰ γένη τῶν χρωμάτων
λευκόν τε καὶ μέλαν καὶ ἐρυθρὸν νομίζουσι· τὰς δὲ ἄλλας
διαφορὰς παρὰ τὰς μίξεις τῶν στοιχείων· τὰς δὲ τῶν
ζώων παρὰ τὰς τῶν τόπων καὶ τῶν ἀέρων. σχῆμα περὶ σχήματος
ἐστὶ, ἐπιφάνεια καὶ περιγραφὴ καὶ πέρας σώματος.

περὶ μίξεως

Οἱ μὲν παλαιότεροι τὰς τῶν στοιχείων κατὰ ἀλλοίωσιν
ἢ τὴν κρᾶσιν ᾠήθησαν γίνεσθαι. οἱ δὲ περὶ ἀναξαγόραν
καὶ δημόκριτον κατὰ παράθεσιν. ἐμπεδοκλῆς δὲ
ἐκ μικροτάτων οἴεται τὰ στοιχεῖα συγκρίνειν. πλάτων
δὲ τὰ μὲν τρία εἶναι εἰς ἄλληλα λέγει τὴν δὲ τρίτην
ἀμετάβλητον μόνην :— περὶ κενοῦ :—

Οἱ ἀπὸ πυθαγόρου καὶ οἱ φυσικοὶ πάντες μέχρι πλά
τωνος ἐν τῷ κόσμῳ κενὸν εἶναι λέγουσι. λεύκιππος
καὶ δημόκριτος καὶ ἐπίκουρος τὰ μὲν ἄτομα ἄπειρα
τῇ ὕλῃ εἶναι τοῦ κόσμου. τὸ δὲ κενὸν ἄπειρον τῷ μεγέθει.
οἱ στωϊκοὶ δὲ ἐντὸς μὲν τοῦ κόσμου κενὸν οὐδὲν μὲν
εἶναι νομίζουσιν ἔξωθεν δὲ αὐτοῦ ἄπειρον. ἀριστοτέλης
δὲ τοσοῦτον εἶναι κενὸν ἔξω τοῦ οὐρανοῦ, ὥστε ἀνα
πνεῖν εἰς αὐτὸ τὸν οὐρανόν. ἔνδοθεν γὰρ εἶναι τόπον πυ
ρινον. περὶ χώρας :—

Οἱ στωϊκοὶ καὶ ἐπίκουροι διαφέρειν τὸν τόπον τῆς χώρας
ἐνόμισαν. τόπον μὲν γὰρ τὸ ὑπὸ σώματος κατὰ μὲν
τι κατέχεσθαι κατὰ δέ τι οὐδαμῶς. ἢ ξυνὸν τὸ πᾶν
οἱ δὲ ἀπὸ τῆς στοᾶς ἕνα κόσμον εἰρήκασι καὶ τοῦτον

σωματικόν. Ἐμπεδοκλῆς δὲ κόσμον ἕνα· οὐ μέντοι τὸ πᾶν εἶναι κόσμον ἀλλὰ μικρόν τι τοῦ παντὸς μέρος. τὸ δὲ λοιπὸν ἀργὴν ὕλην. Πλάτων δὲ κόσμον ἕνα φησὶ καὶ ἓν τὸ πᾶν εἶναι γεννητόν, ἐὰν μὴ πᾶν περιέχῃ· τὸ μὴ ἔσεσθαι ὅμοιον ὄντα παραδείγματι, τουτέστι τῷ νοητῷ κόσμῳ, ἐὰν μὴ μόνον γενήσῃ· τὸ μὴ ἔσεσθαι ἄνω ἢ τὸ ἐλλιπές τι ἔχειν :—

Πῶς συνέστηκεν ὁ κόσμος.

Συνέστηκε τοίνυν ὁ κόσμος περικεκλασμένοις σχηματίσας τὸν τρόπον τοῦτον. τῶν βαρυτάτων σωμάτων, τῶν μὲν κούφων τῶν ἀπὸ τὸ ἄνω φερομένων δὲ περὶ ἐκ τούτου συγκεκοσμημένων :—

Πῶς ἔσχομεν ἔννοιαν θεοῦ :—

Ὁρίζονται τὴν θεοῦ οἱ Στωϊκοί, πνεῦμα νοητὸν οὐκ ἔχον μὲν μορφήν, μεταβαλλόμενον δὲ εἰς ὃ βούλεται. Ἔσχομεν δὲ ἔννοιαν τούτου, ἐκ τοῦ κάλλους καὶ μεγέθους τῶν φαινομένων αὐτοῦ δημιουργημάτων. οὐδὲν γὰρ τῶν καλῶν εἰκῇ γεγένηται ἀλλ' ὑπὸ δημιουργοῦ σοφοῦ. ὅθεν Εὐριπίδης εἶπεν· ἀστέρες δὲ ἐν οὐρανῷ ποικίλματα τέκτονος σοφοῦ. Ἐλάβομεν δὲ ἔννοιαν ἐκ τοῦ τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς λοιποὺς ἀστέρας τὴν ὑπὸ τὸν γῆν φορὰν συνεχθέντας ὁμοίως ἀνατέλλειν τοῖς σώμασι καὶ τοῖς σχήμασι. ἀεὶ δὲ τοῖς μεγέθεσι καὶ κατὰ τόπους τοὺς αὐτοὺς καὶ χρόνους παρὰ θεοῦ. ὅσα κατ' ἀρχὴν τοῦ θεοῦ λέγονται παραλελοίπαμεν. ταῦτα γὰρ ἐροῦμεν τοὺς τὸ πρότερον φιλοσοφήσαντας ἱεροὺς θεοὺς ἠγνοηκότας. ὥσπερ Ἀγόραν τὸν Μήλιον καὶ Θεόδωρον τὸν Κυρηναῖον καὶ Εὐήμερον τὸν Τεγεάτην. οὐ γὰρ εἶναι θεοὺς ἀποφαίνεσθαι τετολμήκασι. Ἔοικε δὲ ταύτην τὴν ὑπόληψιν Εὐριπίδης ἐπὶ θεοὺς. δεῖ δὲ τὸν Ἀρεοπαγίτην ἐκκαλούμενον τοῦ διεξιέναι ἀφίστασθαι ἀγορὰν δὲ τῶν θεῶν ἐπὶ τῷ διατετάχθαι φησὶ τὸν κόσμον παρειληφότα εἰκῇ

τὰ σώματα κατ' ἀρχὴν διακεκοσμηκέναι φασὶ οὐδαμῶς
τὸν πεποιηκότα· ταῦτα ὑπέλαβε. Πλάτων δὲ
οὐκ ἐ ταῦτα ὑπέλαβε· ἀτάκτως δὲ κινούμενα
ὑπὸ θεοῦ εἰς τάξιν ἦχθαι καὶ τὸ προσῆκον τοῦτο ὑ-
πέλαβεν. Θαλῆς δὲ νοῦν τοῦ κόσμου τὸν θεὸν ἡγή-
σατο. Ἀναξίμανδρος δὲ τοὺς ἀπείρους νοῦς θεοὺς
εἶναι νομίζει. Δημόκριτος δὲ νοῦν ἐν πυρὶ σφαι-
ροειδῆ τὴν τοῦ κόσμου ψυχὴν ὑπολαμβάνει. Πυθα-
γόρας δὲ τῶν ἀρχῶν τὴν μονάδα θεὸν καὶ τὸ ἀγαθὸν
ᾠήθη· ἅτινος ἐστὶν ἡ τοῦ ἑνὸς φύσις αὐτὸς ὁ νοῦς.
τὴν δὲ ἀόριστον δυάδα δαίμονα καὶ κακὸν περὶ ἣν
ἐστὶν ὁ ὁρατὸς κόσμος. καὶ Πλάτωνι τοῦτο
δοκεῖν τὸν θεὸν ἀμιγῆ πάσης ὕλης καὶ μηδενὶ
παθητῷ συμπεπλεγμένον. Ἀριστοτέλης
δὲ τὸν ἀνωτάτω θεὸν εἶδος χωριστὸν ἐπι-
βεβηκὼς τῇ σφαίρᾳ τοῦ παντός. ὅθεν ἐστὶν
αἰθέριον σῶμα τὸ μέγιστον ὑπ' αὐτοῦ νομιζόμενον
διῃρημένον κατὰ σφαίρας διαφόρως· τὴν μὲν
φύσει ἡνωμένην συναφθὲν, τῷ δὲ λόγῳ κεχωρισμένον.
οἴεται εἶναι ζῷον σύνθετον ἐκ σώματος καὶ θεότητος,
καὶ τὸ μὲν αἰθέριον κινούμενον κυκλοφορικῶς.
τὴν δὲ ψυχὴν λόγον ἀκίνητον, αἴτιον τῆς κινή-
σεως κατ' ἐνέργειαν. Στωϊκοὶ τὸν θεὸν, πῦρ ἔν-
τεχνον, ἢ πνεῦμα νομίζουσιν ὁδῷ βαδίζον ἐπὶ
κόσμου γένεσιν ἐμπεριειληφὸς πάντας τοὺς
σπερματικοὺς λόγους, καθ' οὓς ἕκαστα καθ' εἱμαρ-
μένην γίνεσθαι καὶ διήκειν δι' ὅλου τοῦ κόσμου τὰς
προσηγορίας, μεταλαμβάνον τῆς κατὰ τὰς τῆς ὕλης
δι' ἧς κεχώρηκε παραλλάξεις θεοὺς καὶ τὸν
κόσμον καὶ τοὺς ἀστέρας εἶναι νομίζουσι. τὸ δὲ
ἀνώτατον πάντων τὸν νοῦν εἶναι τὸν θεόν. Ἐπίκουρος

ἀναισθήτους εἶναι τούς   λέγει δὲ πάντας θεωρητοὺς
διὰ τὴν λεπτομέρειαν τῶν ἐκ τῶν ὅλων φύσεως.
ὁ δὲ οὗτος τέτταρας φύσεις κατὰ γένος ἀφθάρτους
ὁμοίως, ἀλλὰ λέγοντι καὶ ὁμοιομερῆ στοιχεῖα κρεί-
ττω αὐτῶν :—

Περὶ τῶν φυσικῶν.

Ὅτε μὲν ἀρτίως ἦν περὶ τῶν συντελούντων εἰς τὸ
λογικὸν μέρος τῆς φιλοσοφίας ἐπὶ πολὺ ἐπε-
ρωτηθεὶς διῆλθεν διὰ πλειόνων ἡμεῖς δὲ τοσοῦτον
μόνον περὶ τούτου διαλεχθέντες, συμμετρία
μὲν ἐπὶ τὰ φυσικώτερα. οἱ περὶ τούτων ἀλλὰ ἐν
τοῖς πᾶσι ῥᾳδίως ἐπιτιμῶντες μὴ πάνυ
διοχλεῖσθαι καὶ περὶ τούτων δύνασθαι εἶναι
νομίζομεν λέγειν· τό τε σπουδάζομεν γὰρ ἐγνω-
κέναι ταῦτα καὶ τοῖς ἄλλοις ἀνεπίφθονον
εἶναι νομίζομεν ἐμφαίνειν ὑπάρχοντα ἀπὸ. ἀπὸ
τῶν τὰ πρῶτα τῶν κατὰ φιλοσοφίαν καὶ τοῖς
πρῶτον μαθοῦσιν οὕτως ἂν ὑπολάβοιμεν
διὰ ῥᾳστώνην λαμβάνοντες. τοίνυν πρότερον,
ἀπὸ τῶν ἀρχῶν τῶν καὶ δραστικῶν καὶ τῶν ὑλικῶν
ἠρτημένων τῆς φυσικῆς πραγματείας τούτοις
ἡμεῖν ἀπὸ τῶν προειρημένων ἁρμόττειν νομίζομεν.
καὶ πρὸ τούτων ἀρχὴν ποιεῖσθαι τῶν λόγων. ἀρχικώτατον
τοίνυν ἑκάστων πρὸς τὸ πᾶν δραστικώτατον
αἴτιον τῶν ὄντων καὶ γινομένων ἀεὶ θεὸς κοι-
νῶς μνήμην σὺν ἡμῖν ποιητέον. Πλάτων
μὲν οὖν καὶ Ζήνων ὁ στωικός, περὶ τῆς οὐσίας
τοῦ θεοῦ διεληλύθασιν οὐ κόσμου ἐπὶ ταῦτα δι-
ενοήθη. ἀλλ' ὁ μὲν Πλάτων θεὸν ἀσώματον.
Ζήνων δὲ σῶμα. περὶ μορφῆς δὲ μηδὲν εἰ-
ρηκότες. Ἐπίκουρος δὲ ἀνθρωπόμορφον τοῦτον

πέλασθαι. οἱ στωϊκοὶ δὲ ἰδίαν μὲν ἰδέαν οὐκ ἔχειν (Stoici)
διηνεκές, πνεῦμα δὲ πυρῶδες ὁμοιούμενον πᾶσι
ῥᾳδίως οἷς ἂν προαιροῖτο. τὸ δὲ κρατεῖν ὁρισμόν.
καὶ κινεῖσθαι μεταβατικῶς Ἐπίκουρος αὐτὸν (epicurus)
ἐπάγεται. οἱ δὲ στωϊκοὶ ἐμφύτως ἐπὶ τὸ διηκ(ές),
ὁμοιούμενον δὲ ἑκάστῳ κινούμενον καὶ μεταλλάττειν.
περὶ ὁρισμὸν δὲ τῶν ἀρχομένων κατὰ ζήτησιν. οἱ στωϊκοὶ
διηκειν τὸν θεὸν εἰρήκασι, μηδενὸς δὲ τῶν ἀ-
πάντων ἐπιμέλειαν ἔχειν. Ἐπίκουρος δὲ ἰ-
σχυρίζεται χρῆναι τὸ μακάριον καὶ ἀδιάφθαρτον,
οὔτε αὐτὸ πράγματα οὐδ᾽ ἑτέρῳ παρέχειν. ἀλλὰ
δὲ πᾶσιν ἀμοιρος διατελεῖν τὸν θεόν. Πλάτων (plato)
δ᾽ ὑπατον ἔφορον καὶ πάντων συλλήβδην τῶν κατὰ
τὸν βίον καθηγητήν, οὐκ ἄλλον γενομένου τοῦ κόσμου.
οἱ μὲν γὰρ ἀγέννητον εἶναι συγκατεχωρηκότες,
οὐχ ὁμοίως ἐπὶ τοῦ τέλους κεκρίκασι. ἀλλὰ
Πλάτων ἀνώλεθρον αὐτὸν εἶναι νομίζει καὶ
ἀθάνατον, διὰ τὴν ἀτεχνίαν τοῦ πεποιηκότος.
οἱ στωϊκοὶ δὲ φθορᾶς ἐπιδεκτικὸν εἶναι διὰ πῦρ (stoici)
γίνεσθαι τούτου τὴν μεταβολὴν εἰς ἄπειρον,
χεόμενον καὶ τῇ μακρὰ χρόνον τῆς ὕλης ἀραιου-
μένης καὶ ταῖς ἐπιγείοις λῆψιν λαμβανούσης.
αὖθις δὲ τῶν ὄντων ἀναμαξομένων ἐκ πυρὸς
καὶ μεταβάλλον κατ᾽ ἀρχὰς εἰς τὴν τῶν ἄλλων στοι-
χείων φύσιν καὶ πάντα συγκρινόμενα εἰς σωμα-
τοποιούμενον ὑπὸ τοῦ θεοῦ καὶ τῶν πάντων ἐκ
νέου κοσμοποιουμένων. καὶ οἱ μὲν ἄλλοι ὑπο-
λαμβάνουσιν εἶναι τὸν θεὸν τῶν ἁπάντων δημι-
ουργὸν αὐτῷ μόνῳ τὴν αἰτίαν τῶν γινομένων
προσάπτειν ἐπιχειρήκασι. πάντα δὲ καὶ τὰ

[illegible]

Pherecydes syro

Thales

Aristoteles

οἱ δὲ ἀσώματα, ὅσα μὲν ἀπεργάσασθαι δύναται ἡ
σάτου καὶ τὴν ἄποιον ὕλην ὡς οὐκ ἄριστα τὰ καθ' ἕ-
καστα ἐλέσθαι διδόασι, ἀλλὰ ταύτης ὑπὸ τῶν τοῦ
τὰ ἀποτελέσματα γίγνεσθαι. καὶ περὶ μὲν τῆς δραστικῆς
διεξελθεῖν ἀρκῇ καιρός. οἱ κοινῶς ἀρχὴν τὴν ἄπειρον. εἶναι
μὲν ἀρχὴν ὑλικὴν ἀπειρίαν ὅμοιοι δεδώκασι. οὐ μὲν
ἅπαντες εἶναι τὴν αὐτήν. ἀλλὰ φερεκύδης μὲν ὁ σύ-
ριος γῆν εἶναι ταύτας ὀνομάζων. θαλῆς δὲ ὕδωρ.
ἀναξιμένης καὶ διογένης ὁ ἀπολλωνιάτης ἀέρα. πῦρ δὲ
ἵππασος ὁ πόντιος. ξενοφάνης δὲ ὁ κολοφώ-
νιος γῆν καὶ ὕδωρ. ἵππων δὲ ὁ ῥηγῖνος πῦρ καὶ ὕδωρ.
οἰνοπίδης δὲ ὁ χῖος πῦρ καὶ ἀέρα. ὁ δημόκριτος
δὲ ἐν τοῖς ὀρφικοῖς, γῆν καὶ πῦρ καὶ ὕδωρ καὶ ἀέρα.
οἱ στωικοὶ δὲ τέσσαρα στοιχεῖα γῆν καὶ πῦρ καὶ ὕδωρ
καὶ ἀέρα. ἀριστοτέλης δὲ τούτοις προστίθησι καὶ τὸ κυκλο-
φορικὸν σῶμα. ἐμπεδοκλῆς δὲ τέτταρσι στοιχείοις προ-
σήγαγε. τῶν μὲν τεσσάρων στοιχείων ὑλικῶν ὄντων
τῆς φιλίας συγκρινούσης ταῦτα, τοῦ δὲ νείκους διαλύοντος
καὶ διακρίνοντος. δημόκριτος δὲ καὶ ἐπίκουρος τὰς ἀτό-
μους ἀρχὰς εἶναι πάντων νομίζουσι. ἡρακλείδης δὲ ὁ
ποντικὸς καὶ ἀσκληπιάδης ὁ βιθυνὸς ἀνόρμους ὄγκους
τὰς ἀρχὰς ὑποτίθενται τῶν ὅλων. ἀναξαγόρας δὲ ὁ
κλαζομένιος τὰς ὁμοιομερείας. διόδωρος δὲ ὁ κρόνος
ἐπικληθεὶς, ἀμερῆ καὶ ἐλάχιστα τὰ σώματα.
πυθαγόρας δὲ τοὺς ἀριθμούς. οἱ μαθηματικοὶ δὲ τὰ πέρατα
τῶν σωμάτων. στράτων δὲ ὁ φυσικὸς προσονομασθεὶς,
τὰς ποιότητας. ἀρχὴν δὲ καὶ αἰτίαν τινὲς μὲν ᾤοντο
θέσθαι μὴ ἀλλήλων διαφέρειν. τινὲς δὲ μὲν τὴν ἀρχὴν καθ' ἥντινα
τῶν εἶναι νομίζουσι. οὐκ αἰτίαν οὖσαν τῶν ἀποτε-
λεσμάτων. τῶν δὲ ἑκάστου πρῶτον εἶναι τὸ αἴτιον ἡγήσαντο
καθ' αὑτά. διὸ γίγνεται τὰ ἀποτελέσματα. αἰτίας
δὲ ὑπέθεντο. ἀλλ' ἡ καταρκτικὴ ὅπερ ἐστὶ ποιητικὴ
μεμενηκὸς καὶ ὑπάρχον τοῦ ἀποτελέσματος παρέστη, ἢ
πεπαυμένου παρεγηλλάχθαι. καὶ αὐξανομένου ἐπιδόσεως
προΐοι. καὶ μειουμένου, ἢ ἐλαττοῦται. συναίτιον ἔφασαν δὲ

συμβαμε

ὑπάρχειν τὴν ἴσην δύναμιν πρὸς τὸ ἀποτέλεσμα. ὡς ἐπὶ τῶν ἀροτικῶν βοῶν. συνεργὸν δὲ δοκεῖ τὸ μικρὰν εἰσφέρειν πρὸς τὸ ἀποτέλεσμα ἀσάγον, ὡς ἐπὶ δυοῖν δοκούντων ἀμφότερα ἢ δύσκολον καὶ ἐάσαντος οἱ σοντ, ἢ τρίτου ἐπιτεθέντος συνδιακουφίζων. περὶ ἀποδεικτικ

Ἐπειδὴ τοῦ λογικοῦ μέρους τῆς φιλοσοφίας προσήκει ὁ περὶ τοῦ ἀποδεικτικοῦ λόγος. εὔλογόν ἐστι καὶ περὶ τούτου ἀπάρξαι. ἀναποδεικτικοὺς καλοῦσι συλλογισμοὺς τοὺς διὰ τὰς ἀποδείξεις, ἢ οὐ δεομένους ἑτέρου μηνύματος. πρῶτος δὲ οὗτος ἐκ συνημμένου καὶ τοῦ ἡγουμένου τὸ λῆγον ἐπιφέρει. οἷον ἡμέρα ἐστί· φῶς ἄρα ἐστί. δεύτερος ὁ ἐκ συνημμένου καὶ τοῦ ἀντικειμένου τοῦ λήγοντος τὸ ἀντικείμενον τοῦ ἡγουμένου ἐπιφέρων. οἷον. ~~κῆπος καὶ ἔρως~~.

τρίτος ὁ ἐξ ἀποφατικῆς συμπλοκῆς καὶ ἑνὸς τῶν ἐν τῇ συμπλοκῇ τὸ ἀντικείμενον τοῦ λοιποῦ ἐπιφέρων. οὐχὶ καὶ ἡμέρα καὶ νύξ ἐστι. τέταρτος δὲ ἐκ διεζευγμένου καὶ ἑνὸς τῶν διεζευγμένων τὸ ἀντικείμενον τοῦ λοιποῦ ἐπιφέρει. ἤτοι ἡμέρα ἐστὶ νὺξ οὐκ ἔστιν· ἀλλὰ μὴν ἡμέρα· οὐκ ἔστι νὺξ ἄρα ἐστί. πέμπτος ὁ διεζευγμένου καὶ τοῦ ἀντικειμένου ἑνὸς τῶν ἐν τοῖς διεζευγμένοις τοῦ ἀντικειμένου τὸ λοιπὸν ἐπιφέρει. οἷον ἡμέρα ἐστὶ νύξ ἐστιν· ἀλλὰ μὴν ἡ νὺξ οὐκ ἔστιν ἡμέρα οὐκ ἔστιν:~

Θαλῆς μὲν καὶ Πλάτων καὶ περὶ ἡρώων καὶ δαιμόνων

Πυθαγόρας καὶ πρὸ τούτων οἱ στωικοὶ ὁμοίως εἶναι καὶ τούτους οὐσίας ψυχικάς. τοὺς δὲ ἥρωας ψυχὰς κεχωρισμένας τῶν σωμάτων, τὰς μὲν ἀγαθὰς τῶν βίον διαγόντων ἀρίστων, κακὰς δὲ τῶν πονηρῶν. Ἐπίκουρος δὲ οὐδέτερον τούτων συγχωρεῖ εἶναι.

Τὸν χρόνον εἶναι Πυθαγόρας ὑπέλαβε περὶ χρόνου. τὴν σφαῖραν τοῦ περιέχοντος. Πλάτων δὲ διάστημα τῆς τοῦ κόσμου κινήσεως. Ἐρατοσθένης τὴν τοῦ κόσμου πορείαν. περὶ οὐσίας χρόνου.

Τοῦ χρόνου τὴν οὐσίαν οἱ στωικοὶ ἡλίου τὴν κίνησιν νομίζουσι. Πλάτων δὲ τὴν πορείαν τούτου. καὶ τὴν

μὲν ἀγέννητον τοῦ χρόνου εἶναι. Πλάτων δὲ γεννητόν.

περὶ γενέσεως καὶ φθορᾶς

Οἱ περὶ Μέλισσον καὶ Ζήνωνα τὸν Ἐλεάτην καὶ Παρμενίδην γένεσιν καὶ φθορὰν ἀνῃρήκασι, ἀκίνητον εἶναι τὸ πᾶν ὑπολαβόντες. Ἐμπεδοκλῆς δὲ καὶ Ἐπίκουρος καὶ ὅσοι κατὰ συναθροισμὸν τῶν λεπτομερῶν σωμάτων κοσμοποιοῦσι, συγκρίσεις μὲν καὶ διακρίσεις εἰσάγουσι, γενέσεις δὲ καὶ διακρίσεις καὶ φθορὰς οὐ κυρίως· οὐ γὰρ κατὰ ποιὸν ἀλλοίωσιν ἀλλὰ κατὰ παράθεσιν καὶ συναθροισμὸν γίνεσθαι τὰ πάντα νομίζουσι. Πυθαγόρας δὲ καὶ ὅσοι παθητὴν ὕλην ὑποτιθέμενοι κυρίως γένεσιν καὶ φθορὰν λέγουσι γίνεσθαι. —

Περὶ ἀνάγκης.

Τὴν ἀνάγκην Θαλῆς ἰσχυροτάτην εἶναί φησι, κρατεῖν γὰρ αὐτὴν τοῦ παντός. Πυθαγόρας δὲ καὶ περικεῖσθαι τῷ κόσμῳ τὴν ἀνάγκην ὑπολαμβάνει. Παρμενίδης δὲ καὶ Δημόκριτος πάντα κατὰ ἀνάγκην συμβαίνειν εἰρήκασι, εἶναι δὲ τὴν αὐτὴν εἱμαρμένην καὶ δίκην καὶ πρόνοιαν. Πλάτων δὲ τὰ μὲν ἀπὸ προνοίας, τὰ δὲ ἀπὸ ἀνάγκης ἀνενεχθαι τῆς οὐσίας. —

Περὶ οὐσίας ἀνάγκης.

Τῶν ἀρχῶν καὶ τῶν στοιχείων αἰτίαν χρηστικὴν τὴν ἀνάγκης Ἐμπεδοκλῆς δὲ ἡγεῖται. Δημόκριτος δὲ τὴν ἀντιτυπίαν καὶ φορὰν καὶ πληγὴν τῆς ὕλης. Πλάτων δὲ τὴν ὕλην ποτὲ μέν, ποτὲ δὲ τὴν τοῦ ποιοῦντος πρὸς αὐτὴν σχέσιν. —

Περὶ εἱμαρμένης.

Ἡράκλειτος οὐσίαν εἱμαρμένης λόγον τὸν διὰ πάσης διήκοντα. Ἡ εἱμαρμένη ἐστὶ τὸ αἰθέριον σῶμα, σπέρμα τῆς τῶν πάντων γενέσεως. Πλάτων λέγει ἢ νόμον ἢ λόγον θεῖον τοῦ παντὸς φύσεως, εἶναι τὴν δύναμιν πραγματικὴν τάξιν τὴν παντὸς διοικητικήν· καὶ πάλιν ἐν τοῖς ὅροις λέγει τὴν εἱμαρμένην, καθ' ἣν τὰ μὲν γεγονότα γέγονε, τὰ δὲ γινόμενα γίνεται, τὰ δὲ γενησόμενα γενήσεται. Οἱ δὲ ἄλλοι Στωϊκοὶ εἱρμόν. Ποσειδώνιος δὲ τρίτην ἀπὸ Διὸς πρῶτον εἶναι τὸν Δία, δεύτερον τὴν φύσιν, τρίτην τὴν εἱμαρμένην.

Περὶ τύχης

Πλάτων αἰτίαν ἐν προαιρετικοῖς, κατὰ συμβεβηκὸς παρακολουθεῖν. Ἀναξαγόρας δὲ καὶ οἱ Στωϊκοί

αἰτίαν ἄδηλον ἀνθρωπίνῳ λογισμῷ· καὶ τὰ μὲν εἶναι κα-
τ' ἀνάγκην· τὰ δὲ κατὰ προαίρεσιν· τὰ δὲ κατὰ τύχην·
τὰ δὲ κατὰ τὸ αὐτόματον :— Περὶ κόσμου

Πυθαγόρας πρῶτος ὠνόμασε τὴν τῶν ὅλων περιοχὴν
κόσμον ἐκ τῆς ἐν αὐτῷ τάξεως. Θαλῆς ἕνα τὸν
κόσμον. Δημόκριτος δὲ καὶ Ἐπίκουρος καὶ ὁ τούτων
καθηγητὴς Μητρόδωρος ἀπείρους κόσμους ἐν τῷ ἀπεί-
ρῳ. Ἐμπεδοκλῆς δὲ τὸν τοῦ ἡλίου δρόμον εἶναι
περιγραφὴν τοῦ πέρατος τοῦ κόσμου. Οἱ Στωικοὶ διαφέρειν
τὸ πᾶν καὶ τὸ ὅλον· τὸ μὲν γὰρ πᾶν εἶναι σὺν τῷ
κενῷ ἀπείρῳ· ὅλον δὲ χωρὶς τοῦ κενοῦ εἶναι τὸ ὅ-
λον καὶ κόσμον :— Περὶ σχήματος :—

Οἱ μὲν Στωικοὶ κόσμον σφαιροειδῆ· ἄλλοι δὲ κυ-
κλοειδῆ· Ἐπίκουρος ἐνδέχεσθαι τοὺς σκ[illegible] :—

Οἱ μὲν ἄλλοι πάντες ἔμψυχον· Εἰ ἔμψυχος ὁ κόσμος
τὸν κόσμον καὶ προνοίᾳ διοικούμενον. Δημόκριτος δὲ
καὶ Ἐπίκουρος, ὅσοι τὰ ἄτομα εἰσάγουσιν, οὐδὲ
προνοίᾳ τούτων συγχωροῦσι· φύσει δέ τινι· ἀλλὰ πε-
διοικεῖσθαι. Ὁ Ἀριστοτέλης ἔμψυχον εἶναι ὅλον, διὸ
αἰσθητικὸν ὄντα προνοίᾳ διοικούμενον. τὰ μὲν γὰρ οὐράνια
τούτων πάντων μετέχειν· σφαίρας γὰρ περιέχειν ἐμψύχους
καὶ ζωτικάς· τὰ δὲ περίγεια μηδενὸς τούτων μετα-
λαμβάνειν· μὴ προηγουμένως μετέχειν κατὰ συμβεβηκός.

Τὸν Πυθαγόρειοι καὶ Πλάτων Εἰ ἄφθαρτος ὁ κόσμος
ἀπὸ θεοῦ γενέσθαι τὸν κόσμον καὶ πάντας τοὺς δὲ θεοὺς
ἀεὶ διαμένειν τούτους ὑπολαμβάνειν ἀρέσκουσιν. καὶ
εἶναι μὲν ὅσον ἐπὶ τῇ φύσει φθαρτόν. αἰσθητὸν γὰρ
ὑπάρχειν· οὐ μὴν φθαρησόμενον προνοίᾳ τοῦ πεποι-
ηκότος. Ἐπίκουρος δὲ καὶ οἱ Στωικοὶ φθαρτὸν
νομίζουσιν εἶναι καὶ γεννητόν. τὸ ἄλλ' ἐπὶ τὸ ὑπὸ
τὴν τῆς σελήνης μέρος παθητὸν καὶ φθαρτόν : Πόθεν τρέφεται ὁ κόσμος.

Ἀριστοτέλης ἀπέφηνε φθαρήσεσθαι γενόμενον, οὐδὲ τὸν

δὲ τῷ κόσμῳ συμβέβηκεν. Πλάτων ἐκ τοῦ φθίνοντος τὴν μεταβολὴν τρέφεσθαι τοῦτον φησί. Πυθαγόρειοι δὲ τὴν μὲν εἶναι τὴν τροφὴν ὑπέλαβον· τὸ μὲν ἐξ οὐρανοῦ πυρὸς ὑετίου· τὸ δ' ἐξ ὕδατος σεληνιακοῦ περιτροπῇ τοῦ ἀέρος ἀποχυθέντος:—

ἀπὸ ποίου πρώτου στοιχείου ἤρξατο ὁ θεὸς κοσμοποιεῖν

Ἀπὸ τῆς γῆς ἤρχθαι λέγουσιν αὐτὸν καθάπερ οἱ πυθαγόρειοι δὲ ἀπὸ πυρός. Ἐμπεδοκλῆς δὲ τὸν μὲν αἰθέρα πρῶτον διακριθῆναί φησι· δεύτερον δὲ πῦρ, ἐφ' ᾧ τὴν γῆν ἐξ ἧς περισφιγγομένης· εἶτα ὕδωρ ἐξ οὗ ἀναθυμιαθῆναι τὸν αἰθέρα. γενέσθαι δὲ τὸν μὲν οὐρανὸν ἐκ τοῦ αἰθέρος, τὸν δὲ ἥλιον ἐκ τοῦ πυρός. Πλάτων δὲ ὁρατὸν γεγονέναι τὸν κόσμον ὡς γίνεσθαι πρὸς παράδειγμα τοῦ νοητοῦ· τοῦ δὲ ὁρατοῦ προτέραν μὲν τὴν ψυχήν, μετ' αὐτὴν δὲ τοῦ σωματικοῦ τὸ εἶδος γεγενῆσθαι· ἐκ τοῦ πυρὸς μὲν καὶ γῆς πρῶτον, ὕδατος δὲ καὶ ἀέρος δεύτερον. Πυθαγόρας σώματα τ' στερεῶν ὄντων ἅπερ καλεῖται μαθηματικά· ἐκ μὲν τοῦ κύβου γεγονέναι τὴν γῆν. ἐκ δὲ τῆς πυραμίδος τὸ πῦρ, ἐκ δὲ τοῦ ἐκταέδρου τὸ ὕδωρ. ἐκ δὲ τοῦ δωδεκαέδρου τὴν τοῦ παντὸς σφαῖραν. Πλάτων συμφέρει ἐν τούτοις τῷ πυθαγόρᾳ.

περὶ τάξεως κόσμου

Παρμενίδης στεφάνους εἶναι περιπεπλεγμένους περὶ ὅσ ἐπαλλήλους, τὸν ἐκ τοῦ ἀραιοῦ, τὸν δὲ ἐκ τοῦ πυκνοῦ καὶ τὸ περιέχον δὲ τὸ πᾶν τοίχου δίκην στεφάνης στερεὸν εἶναι. πρῶτον πῦρ, εἶτα αἰθέρα, μεθ' ὃν ἀέρα καὶ ὕδωρ. Ἐμπεδοκλῆς δὲ μηδὲ διὰ παντὸς ἑστῶτας μηδὲ ὡρισμένους τόπους τοῖς στοιχείοις ὑπέλαβεν, ἀλλὰ πάντων τῶν ἄλλων ἀντιλαμβάνειν:—

Τίς ἡ αἰτία τοῦ κόσμον ἐγκλιθῆναι

Διογένης δὲ καὶ Ἀναξαγόρας μετὰ τὸ συστῆναι τὸν κόσμον καὶ τὰ ἐκ τῆς γῆς συστῆναι τοῦ κόσμου, ἐκ τοῦ αὐτομάτου ὡς τὸ μεσημβρινὸν κεκλιθῆναι, ἴσως ὑπὸ προνοίας, ἵνα τινὰ μὲν ἀοίκητα γένηται, τινὰ δὲ οἰκητά, κατὰ ψύξιν καὶ ἐκπύρωσιν. Ἐμπεδοκλῆς δὲ τοῦ πυρὸς εἴξαντος τῇ τοῦ πλάγους

ὁρμῇ ἐπικεκλίσθαι τὰς ἄρκτους καὶ τὰ μὲν βόρεια
ὑψωθῆναι, τὰ δὲ νότια ταπεινωθῆναι:· περὶ ἐκτοῦ

Ἐκτὸς εἶναι τοῦ κόσμου εἰς ὃ ἀναπνεῖν τὸν κόσμον καὶ
ἐξ οὗ. Οἱ δὲ στωικοὶ εἰς ὃ ἀναπνεῖν μόνον. Πλάτων
δὲ μήτ' ἐκτὸς εἶναι τοῦ κόσμου μήτε ῥητὸς καὶ
μικρὸν εἰς ὃ ἀναπνεῖν:— τίνα δεξιὰ τοῦ κόσμου.

Πυθαγόρας καὶ Πλάτων καὶ Ἀριστοτέλης δεξιὰ τοῦ κόσμου
εἶναι ἔφησαν τὰ ἑῷα, ἀφ' ὧν ἀρχὴν εἶναι τῆς
κινήσεως· ἀριστερὰ δὲ τὰ ἑσπέρια. Ἐμπεδοκλῆς
δὲ δεξιὰ εἶναι τὰ κατὰ τὸν θερινὸν τροπικόν, ἀρι-
στερὰ δὲ τὰ κατὰ τὸν χειμερινόν:— περὶ οὐρανοῦ :—

Ἀναξιμένης τὴν περιφορὰν τὴν ἐξωτάτω γῆν εἶναι. Ἐμπε-
δοκλῆς δὲ στερέμνιον εἶναι τὸν οὐρανὸν οἴεται ἐξ ἀ-
έρος παγέντος καὶ ὑπὸ πυρὸς κρυσταλλοειδοῦς
τὸ πυρῶδες καὶ τὸ ἀερῶδες ἐν ἑκατέρᾳ
τὰ ἡμισφαίρια περιέχειν. Ἀριστοτέλης ἐκ πέμπτου
σώματος· πύρινον εἶναι τὸν οὐρανὸν ἐκ θερμοῦ
καὶ ψυχροῦ συνεστῶτα :— περὶ διαιρέσεως οὐρανοῦ. —

Θαλῆς μεμερίσθαι τὴν τοῦ παντὸς σφαῖραν εἰς κύκλους ε'
οὕστινας προσαγορεύει ζώνας. καλεῖται δὲ αὐτῶν
τὸν μὲν ἀρκτικὸν καὶ ἀειφανῆ, τὸν δὲ τροπικὸν θερινόν.
τὸν δὲ ἰσημερινόν, τροπικὸν ἀφανῆ. λοξὸν δὲ τὸν
περὶ μέσον τὸν κόσμον. ἐν ᾧ ζωδιακὸς ὑποβέβληται.
Πυθαγόρας δὲ πρῶτον ἐπινενοηκέναι λέγεται τὴν λόξωσιν
τοῦ ζωδιακοῦ κύκλου. ἣν Οἰνοπίδης ὁ Χῖος ὡς
ἐπίνοιαν ἰδίαν σφετερίζεται :— τίς οὐσία τῶν πλανητῶν καὶ ἀπλα-
νῶν.

Θαλῆς ὑπολαμβάνει γεώδη μὲν εἶναι τὰ ἄστρα, ἔμ-
πυρα δέ. Ἐμπεδοκλῆς δὲ πύρινα μέν. ἀμφο-
τέρας δὲ τὸν ὑπὸ κάτω μέρους αἰθέρα ἀέρα πύρινον ὠθεῖ.
Πλάτων δὲ ἐκ μὲν τοῦ πλείστου μέρους πύρινα
εἶναι τοὺς ἀστέρας ὑπολαμβάνει, μετέχοντας τῶν ἄλλων στοι-
χείων κόλλης τρόπον. Ξενοφάνης δὲ ἐκ νεφῶν -

πεπυρωμένους οὐ μέντοι ὁρατοὺς ἀεὶ εἶναι. σβεννυ-
μένους καθ' ἑκάστην ἡμέραν, ἀναζωπυρεῖσθαι νύκτωρ καθάπερ
καὶ τοὺς ἄνθρακας· τὰς γὰρ ἀνατολὰς καὶ δύσεις ἐξάψεις εἶναι
καὶ σβέσεις. Ἡρακλείδης δὲ καὶ οἱ Πυθαγόρειοι ἕκαστον τῶν
ἀστέρων κόσμον εἶναι νομίζουσι γῆν περιέχοντα καὶ αἰθέρα
ἐν τῷ ἀπείρῳ ἀέρι. ταῦτα δὲ τὰ δόγματα ἐν τοῖς
ὀρφικοῖς φέρεσθαι λέγουσι, κοσμοποιοῦσι γὰρ τῶν ἀστέρων
ἕκαστον. Ἐπίκουρος οὐδὲν ἀποδοκιμάζει τούτων, ἐχόμενος
τοῦ ἐνδεχομένου. οἱ Στωϊκοὶ σφαιροειδεῖς τοὺς ἀστέρας
καθάπερ τὸν κόσμον εἶναι, τὸν ἥλιον καὶ τὴν σελήνην. Κλεάνθης
κωνοειδεῖς. Ἀναξιμένης ἥλων δίκην καταπεπηγέναι τῷ
κρυσταλλοειδεῖ. ἔνιοι δὲ πέταλα πύρινα νομίζουσιν
εἶναι ὥσπερ ζωγραφήματα τοὺς ἀστέρας. Δημόκριτος
τὰ μὲν ἀπλανῆ πρῶτον, μετὰ δὲ ταῦτα τοὺς πλανήτας, ἐφ' οἷς
ἥλιον καὶ σελήνην. Πλάτων μετὰ τὴν τῶν ἀπλανῶν θέσιν πρῶτον
φαίνεσθαι τὸν τοῦ Κρόνου, δεύτερον φαέθοντα τὸν τοῦ Διός, τρίτον
πυρόεντα τὸν τοῦ Ἄρεος, τέταρτον φωσφόρον τὸν τῆς Ἀφροδίτης,
πέμπτον στίλβοντα τὸν τοῦ Ἑρμοῦ, ἕκτον ἥλιον, ἕβδομον σελήνην. τῶν
μαθηματικῶν τινὲς μὲν ὡς Πλάτων, τινὲς δὲ μέσον πάντων
τὸν ἥλιον, μετὰ δὲ αὐτὸν τὴν σελήνην. περὶ τῆς τῶν ἀστέρων κινήσεως
Ἀναξαγόρας καὶ Δημόκριτος καὶ Κλεάνθης, ἀπὸ ἀνατολῶν
φέρεσθαι ἐπὶ δυσμὰς τοὺς ἀστέρας νομίζουσιν. Ἀλκμαίων
καὶ οἱ μαθηματικοὶ τοὺς ἀστέρας τοὺς πλανήτας ἀπὸ δυσμῶν
εἰς ἀνατολάς φέρεσθαι. τὸν ἥλιον πρῶτον καὶ οἱ
μαθηματικοὶ ἰσόδρομον εἶναι τὸν ἥλιον, τὸν φωσ-
φόρον, τὸν στίλβοντα. πόθεν φωτίζονται οἱ ἀστέρες.
Μητρόδωρος ἅπαντας τοὺς ἀστέρας τοὺς ἀπλανεῖς ὑπὸ
τοῦ ἡλίου προσλαμβάνεσθαι. περὶ τῶν Διοσκόρων.
Ξενοφάνης τοὺς ἐπὶ τῶν πλοίων φαινομένους οἷον ἀστέρας
νεφέλια εἶναι κατὰ τὴν ποιὰν κίνησιν παραλάμ-
ποντα. Μητρόδωρος τῶν ὁρώντων ὀφθαλμῶν στιλβηδόνας εἶναι.
Πλάτων τὰς ἐπισημασίας τὰς χειμερινὰς περὶ ἐπισημασιῶν.
καὶ θερινὰς κατὰ τὰς τῶν ἀστέρων ἐπιτολὰς γίνεσθαι.

Ἀναξίμανδρος τὸν κύκλον αὐτοῦ εἶναι ὀκτὼ καὶ εἰκοσα-
πλασίονα τῆς γῆς ἁρματείου τροχοῦ τὴν ἁψῖδα πα-
ραπλήσιον ἔχοντα κοίλην καὶ πλήρη πυρὸς κατὰ
μέρος διάπερ τὸ πῦρ ὡς δι' αὐλοῦ πρὸς ἡμᾶς ἐκπέμ-
πεσθαι. οἱ στωϊκοὶ ἄναμμα νοερὸν ἐκ θαλάσσης. πλάτων
ἐκ πλείστου πυρός. ἀναξαγόρας καὶ δημόκριτος καὶ
μητρόδωρος· μύδρον ἀμυδρὸν διάπυρον. φιλόλαος
ὁ πυθαγόρειος ὑαλοειδῆ δεχόμενον τοῦ ἐν κόσμῳ πυρὸς
τὴν ἀνταύγειαν διηθοῦντα δὲ πρὸς ἡμᾶς τὸ φῶς, ὥστε
τρισσὰς εἶναι τῶν ἡλίων διαφοράς· τό τε ἐν τῷ οὐρανῷ πυ-
ρῶδες· τὸ ἀπ' αὐτοῦ ὁμοιὸν πυροειδές· τρίτην
τὴν ἀπὸ τοῦ ἐνόπτρου ἀνακλωμένην διασπειρομένην πρὸς ἡμᾶς.
Ἐμπεδοκλῆς δύο ἡλίους· τὸν μὲν ἀρχέτυπον ἡμισφαι-
ρίον. τὸ δὲ φαινόμενον αὐτοῦ ἐν τῷ ἑτέρῳ ἡμισφαι-
ρίῳ. Ἐπίκουρος γῆς ἴδιον κύκλῳ κισηροειδῆ
καὶ σπογγοειδῆ ταῖς κατατρήσεσιν ἐμπυρευόμενον. Ἡράκλειτος
ἄναμμα τὰ ἐν μὲν τῇ ἀνατολῇ ἐξάψεις ἔχοντα·
τὰς δὲ σβέσεις ἐν ταῖς δυσμαῖς :— Περὶ ἡλίου :— μεγέθους.

Ἀναξίμανδρος τὸν μὲν ἥλιον ἴσον εἶναι τῇ γῇ. τὸν δὲ
κύκλον ἀφ' οὗ τὴν ἐκπνοὴν ἔχει ἑπτάκις καὶ εἰκοσι-
πλασίονα τῆς γῆς. Ἀναξαγόρας δὲ πολυπλασίονα τῆς
γῆς. Ἐπίκουρος τοιοῦτον οἷος φαίνεται, ἢ μικρὰ μείζω.

Ἀναξιμένης πλατὺν εἶναι τὸν ἥλιον ‖ Περὶ σχήματος ἡλίου.
οἴεται ὥσπερ οἷον πέταλον. Ἡράκλειτος φακοειδῆ
ὑπόκυρτον. οἱ στωϊκοὶ ὥσπερ τὸν κόσμον ἢ τὰ ἄστρα.
Ἐπίκουρος δέχεται πάντα. Περὶ τροπῶν ἡλίου :—

Ἀναξιμένης ὑπὸ πεπυκνωμένου ἀέρος καὶ ἀντι-
τύπου δέχεσθαι ἐξωθεῖσθαι τὰ ἄστρα. Ἀναξαγόρας
ἀπὸ τῆς πρὸς ἄρκτον ἀέρος τῆς πυκνώσεως ἰσχυρο-
ποιεῖ. Ἐμπεδοκλῆς ὑπὸ τῆς περιεχούσης αὐτὸν
σφαίρας κωλυόμενον μέχρι παντὸς εὐθυδρομεῖν καὶ ὑπὸ
τῶν τροπικῶν κύκλων φερόμενον. Διογένης ὑπὸ
τοῦ ἀντιπίπτοντος τῷ θερμῷ ψύχους σβέννυσθαι.
οἱ στωϊκοὶ κατὰ τὸ διάστημα τῆς ὑποκειμένης τροφῆς

διϊέναι τὸν ἥλιον· ὠκεανὸν δὲ τὴν θάλασσαν παρ-
χόντων· τῶν δὲ τροφῶν τῶν ὑγρῶν ἐχουσῶν ἐν αὐτῷ καὶ τὴν
γεώδη ἀναθυμίασιν. Περὶ ἐκλείψεως ἡλίου.

Θαλῆς πρῶτος εἶπεν ἐκλείπειν τὸν ἥλιον τῆς σελήνης
αὐτὸν ὑπερχομένης κατὰ κάθετον οὔσης φύσει γεώδους.
ξενοφάνης κατὰ σβέσιν τὴν ἔκλειψιν γίνεσθαι· ἕτε-
ρον δὲ πάλιν πρὸς ταῖς ἀνατολαῖς ἅπτεσθαι. παρ-
φονται δὲ καὶ ἔκλειψιν ἐντελῶς ὥστε τὴν ἡμέραν ἀ-
φανῆ εἶναι. ἀρίσταρχος κατὰ γῆς σκιάζεσθαι τὸν
δίσκον τοῦ ἡλίου. Περὶ σελήνης.

Ἀναξίμανδρος κύκλον εἶναι ἐννεακαιδεκαπλασίονα
τῆς γῆς. ξενοφάνης δὲ εἶναι νέφος πεπυρωμένον. οἱ
στωικοὶ μικτὴν εἶναι τὴν σελήνην ἐκ πυρὸς καὶ γεώδους
ὠήθησαν. πλάτων πλείονος πυρός. ἀναξαγόρας καὶ
δημόκριτος στερέωμα διὰ πυρὸς ἔχον ἐν ἑαυτῷ καὶ φάραγγας.
οἱ στωικοὶ μείζονα τῆς γῆς νομίζουσι τὴν σελήνην.
ὡς καὶ τὸν ἥλιον. παρμενίδης ἴσην τῷ ἡλίῳ καὶ ἐξ αὐτοῦ φωτίζεσθαι.

Οἱ στωικοὶ τὴν σελήνην σφαιροειδῆ καὶ Περὶ σχημάτων.
τὸν ἥλιον νομίζουσι. ἡράκλειτος δὲ σκαφοειδῆ. ἐμπεδοκλῆς
δὲ δισκοειδῆ. ἄλλοι δὲ κυλινδροειδῆ. σχηματί-
ζεται δὲ ἡ σελήνη ἑπταχῶς. ὅτι τὸ τίκτεται δοκεῖ
φαίνεσθαι μηνοειδής. διχότομος. εἶτα ἀμφίκυρτος. εἶτα
πανσέληνος. εἶτα πάλιν ἐπαναχωροῦσα αὐθις
ἀμφίκυρτος εἶτα διχότομος καὶ τὸ ὕστερον μηνοειδής
ἀποφαίνηται κατὰ τὴν κενήν [illegible] λόγος.
[illegible] τοῦτον σχηματίζεσθαι τὸν τρόπον. σκιάζουσι
ἕκαστον τῆς γῆς πρῶτον μὲν κατὰ μόριον ἑαυτῆς, ποτὲ
δὲ κατὰ πᾶν [illegible] τῆς σελήνης [illegible] τὸ κοῖλον
τῆς γῆς. Περὶ φωτισμοῦ σελήνης.

Ἀναξίμανδρος ἴδιον ἔχειν αὐτὴν φῶς [illegible]
[illegible] δὲ πως. θαλῆς ὑπὸ τοῦ ἡλίου φωτίζεσθαι
τὴν σελήνην. Περὶ ἐκλείψεως σελήνης.

Ἀναξίμανδρος ὑπολαμβάνει τοῦ στομίου περὶ τὸν
τροχὸν ἐμφραττομένου τὴν σελήνην ἐκλείπειν. [illegible]

πυθαγορείων δέ τινες κατ' ἀνταύγειαν καὶ ἀντίφραξιν τῆς γῆς καὶ τῆς ἀντίχθονος. Πλάτων δὲ καὶ Ἀριστοτέλης καὶ οἱ στωικοί, εἶτα δὲ καὶ οἱ μαθηματικοί, τὰς μὲν μηνιαίους ἀποκρύψεις συνοδεύουσαν τῷ ἡλίῳ καὶ περιλαμβανομένην ποιεῖσθαι, τὰς δὲ ἐκλείψεις σκιαζομένην ὑπὸ τῆς γῆς. — Διὰ τί γεώδης

Οἱ Πυθαγόρειοι γεώδη φαίνεσθαι τὴν σελήνην (φαίνεται ἡ σελήνη) διὰ τὸ περιοικεῖσθαι αὐτὴν ὑπὸ μειζόνων ζῴων καὶ φυτῶν καὶ καλλιόνων· εἶναι γὰρ πεντεκαιδεκαπλάσια τὰ ἐπ' αὐτῆς ζῷα τῶν παρ' ἡμῖν μηδὲν περίττωμα τῇ κοιλίᾳ ἀποκρίνοντα, καὶ τὴν ἡμέραν τοσαύτην εἶναι τῷ μήκει. Ἀναξαγόρας ἀνωμαλότητα τοῦ συγκρίματος διὰ τὸ ψυχρομιγὲς ἅμα καὶ γεῶδες, παραμεμῖχθαι τῷ πυρώδει τὸ ζοφῶδες. —

Ἐμπεδοκλῆς διπλάσιον ἀπέχειν (Περὶ διαστημάτων τῆς σελήνης) τὴν σελήνην ἀπὸ τοῦ ἡλίου ἤπερ ἀπὸ τῆς γῆς. Οἱ μαθηματικοὶ ὀκτωκαιδεκαπλάσιον. Ἐρατοσθένης τὸν ἥλιον ἀπέχειν τῆς γῆς σταδίων μυριάδας τετρακοσίας καὶ ὀκτάκις μυριάδας, τὴν δὲ σελήνην ἀπέχειν τῆς γῆς σταδίων μυριάδας ἑβδομήκοντα ὀκτώ. —

Περὶ ἐνιαυτοῦ

Ἐνιαυτός ἐστι ἐτῶν τριάκοντα, Διὸς δώδεκα, Ἄρεος δεκαπέντε μηνῶν, σελήνης ἡμέραι τριάκοντα. τοσοῦτον ὁ τέλειος ἐννέα καὶ δέκα. ἕτεροι δὲ ἐν τοῖς ἑξήκοντα ἔτος. Ἡράκλειτος ἐκ μυρίων ὀκτακισχιλίων ἐνιαυτῶν ἡλιακῶν. Διογένης ἐκ πέντε καὶ ἑξακοσίων καὶ τὸ κέντρον καὶ τῆς σφαίρας τὴν γῆν νομίζουσι.

τὰς ἡμέρας ἐνιαυτοῦ οἱ μὲν ὀκταετηρίδα ἐπι... ὅρο... οἱ δὲ

Περὶ τοῦ γαλαξίου

Γαλαξίας κύκλος ἐστὶ νεφελοειδής, ἐν μὲν τῷ ἀέρι διὰ παντὸς φαινόμενος, διὰ δὲ τὴν λευκόχροιαν ὀνομαζόμενος γαλαξίας. Οἱ τῶν Πυθαγορείων τινὲς ἀστέρων εἶναι διάκαυσιν ἐκπεσόντος ἐκ τῆς ἰδίας ἕδρας, δι' οὗ περιέδραμε χωρίου κυκλοτερῶς αὐτὸ καταφλέξαντος, ἐν τῷ κατὰ Φαέθοντα ἐμπρησμῷ διὰ τὴν ἐκ πυρὸς ἔφοδον. Οἱ δὲ τὴν ἡλιακὴν ταύτην φασὶ κατ' ἀρχὰς γεγονέναι δίοδον. Τινὲς δὲ καὶ τοῦτο μικρὰν εἶναι φαντασίαν τοῦ ἡλίου, ὅμοιος οὖσιν πυρὸς τῶν τοιούτων τὰς αὐγὰς ἀνακλώντων.

μήτε ὀλίγων διὰ τὴν πάροδον τοῦ ἡλίου καὶ τὸ
τῆς δρόσου μέτρα τὰ γαλακτοειδῆ ἀποτελεῖν σχή-
ματα. Ἀναξαγόρας τὴν σκιὰν τῆς γῆς κατὰ τοῦτο
μέρος ἵστασθαι τοῦ οὐρανοῦ ὅταν ὑπὸ τὴν γῆν ὁ ἥλιος μὴ
πάντα περιφωτίζῃ. Δημόκριτος πολλῶν μικρῶν καὶ συνεχῶν
ἑτέρων συμφωτιζομένων ἀλλήλοις. Ἀριστοτέλης ὥσπερ ἡ κόμη πῦρ
ὑπὸ τὸν ἀέρα καὶ πρὸ πόρον πλανήτου φαίνεσθαι. Οἱ
Στωικοὶ τοῦ αἰθερίου πυρὸς ἀραιότητα ἀμυδρῶς τῶν
πλανητῶν. Ποσειδώνιος πυρὸς πᾶσιν. Περὶ κομητῶν καὶ
Τῶν Πυθαγορείων τινὲς μὲν ἀστέρα φασὶν εἶναι διαττόντων ἀστέρων.
τῶν κομητῶν τῶν οὐκ ἀεὶ μενόντων, διὰ τινὸς δὲ ὡρισμένου
χρόνου περιοδικῶς ἀνατελλόντων· ἄλλοι δὲ ἀνάκλασιν
τῆς ἡμετέρας ὄψεως πρὸς τὸν ἥλιον παραπλησίαν ταῖς κατοπτρικαῖς
ἐμφάσεσι. Ἀναξαγόρας καὶ Δημόκριτος σύνοδον
ἀστέρων δυοῖν ἢ καὶ πλειόνων κατὰ συναυγασμόν. Ἀριστοτέλης
τῆς ξηρᾶς ἐκ τῆς γῆς ἀναθυμιάσεως διὰ τὴν ἐμπυρ-
στάτων ἀστέρων φῶς πεπληρωμένων περι-
ληφθὲν ψυχὴν πυρί. Διογένης σημεῖον καὶ
ἐπιφανῆ τινος εἶναι τοὺς κομήτας. Ἀναξαγόρας
τοὺς καλουμένους διᾴττοντας ἀπὸ τοῦ αἰθερίου πυρὸς
σπινθῆρος δίκην καταφέρεσθαι. καὶ παραυτίκα
σβέννυσθαι. Μητρόδωρος τὴν εἰς τὰ νέφη τοῦ ἡλίου
ἔμπτωσιν ὡς βέλη πολλάκις σπινθηρίζειν. Ξενο-
φάνης τὰ τοιαῦτα νεφῶν πεπυρωμένων συ-
στήματα ἢ κινήματα εἶναι. — Περὶ βροντῶν καὶ ἀστραπῶν:
Ἀναξίμανδρος ἐκ τοῦ πνεύματος ὑπόντος ὅταν περιλη-
φθῇ νέφει παχεῖ βιαζόμενον ἐμπέσῃ τῇ λεπτομερεῖ
καὶ παχυτάτῃ κουφότητι τότε ἡ μὲν ῥῆξις τὸν ψόφον
ἀποτελεῖ, ἡ δὲ διαστολὴ μελανίαν τοῦ νέφους. Μη-
τρόδωρος ὅταν εἰς νέφος πεπηγὸς ὑπὸ πυκνότητος
ἐμπέσῃ πνεῦμα. τῇ μὲν θραύσει τὸν κτύπον ποιεῖ, τῇ δὲ
πληγῇ καὶ τῷ σχισμῷ διαυγάζει. τῇ δὲ ὀξύτητι τῆς
φορᾶς προσλαμβάνον τὴν ἀπὸ τοῦ ἡλίου θερμότητα
κεραυνοβολεῖ. τῇ δὲ κεραυνοῦ τὴν ἀσθένειαν ἐμπρηστῆ.

ἀναξαγόρας δὲ ὅταν τὸ θερμὸν εἰς ψυχρὸν ἐμπέσῃ τοῦτο
δ' ἐστὶ αἰθέριον μέρος ἀερῶδες, τῷ μὲν ψόφῳ μελα-
νίαν ἀποτελεῖ· τῷ δὲ χρώματι τὸ νέφος τὴν ἀστραπήν·
τῷ δὲ πλήθει τοῦ φωτὸς τὸν κεραυνόν· τῷ δὲ πολυ-
σωματώτερον πυρὶ τὸν τυφῶνα· τῷ δὲ νεφομιγεῖ τὸν πρηστῆρα.
οἱ στωϊκοὶ βροντὴν μὲν συγκρουσμὸν νεφῶν τὴν δὲ ἀστραπὴν
ἔξαψιν ἐκ παρατρίψεως· κεραυνὸν δὲ σφοδροτέραν
ἔξαψιν· πρηστῆρα δὲ νωχελέστερον. ἀριστοτέλης ἐξ ἀ-
ναθυμιάσεως πάντα ταῦτα συμβαίνειν ὅταν οὖν ἐντύχῃ
τῇ ὑγρᾷ παραβιάζεσθαι τὴν ἔξοδον καὶ τῇ μὲν παρα-
τρίψει δὲ τῇ ῥήξει τὸν ψόφον τῆς βροντῆς γίνεσθαι.
τῇ δὲ ἐξάψει τῆς ἐκθλίψεως τὴν ἀστραπὴν πρηστῆρα
δὲ καὶ καὶ τυφῶνα πλεονασμῷ τῆς ὕλης ἣν ἑκά-
τερος αὐτῶν ἐφέλκεται. θερμοτέρας ὁ πρηστὴρ παχυτέρας
δὲ ὁ τυφών. Περὶ νεφῶν καὶ χιόνων.

Ἀναξιμένης ἔφη συμβαίνειν παχυνθέντος ἐπὶ πλέον
τοῦ ἀέρος μᾶλλον δὲ ἐπισυναχθέντος ἐκθλί-
βεσθαι τοὺς ὄμβρους γίνεσθαι. χάλαζαν δὲ ἐπειδὰν
τὸ κάτω φερόμενον ὕδωρ παγῇ ὑπὸ ψύξεως.
ὅταν τι περιληφθῇ τῶν ὑγρῶν. πλάτων.
μητρόδωρος ἀπὸ τῆς ὑδατώδους ἀναφορᾶς
συνίστασθαι τὰ νέφη. ἐπίκουρος ἀπὸ τῶν ἀτόμων
στρογγυλοῦσθαι τὴν χάλαζαν καὶ τὸν ὑετὸν γίνεσθαι
ἀπὸ τῆς μακροτέρας φορᾶς διὰ τοῦ ἀέρος συμβαι-
νούσης ἀποπληττόμενον. Περὶ ἴριδος.

Τῶν μετεώρων παθῶν τὰ μὲν καθ' ὑπόστασιν οἷον
ὄμβρος χάλαζα. τὰ δὲ κατ' ἔμφασιν οὐκ ἔχοντα
σύστασιν ἰδίαν ὥσπερ ὅταν καμπύλας γραμμὰς
ὁρῶμεν. τὰ δὲ κατὰ τῶν λίθων τῶν διαυγῶν καὶ
κέρατα λεπτομερῆ γὰρ πρὸς τὴν πυκνότητα τοῦ ὕδατος
ὅλη ἡ ὄψις διὸ τὴν κώπην ὁρῶμεν ἐν τῇ θαλάττῃ
κεκλασμένην. τῷ δὲ τρόπῳ τῶν βλεπόντων τὰ ἀνακλώ-
μενα ὥσπερ τὰ κάτοπτρα ἐστί. τοῦτο τὸ εἶδος
ἴδιον ποιοῦσι ἅπαντες ὅσα τὴν ἀναθυμίασιν τὴν

ὑγρὰν τοῦ νέφους μεταβάλλουσι, τὰ ἐκ τοῦ [illegible] βραχὺ
τοῦ μικροῦ ῥανίδας διακρίζουσας μηδοῦ ἥλιος
τέμνει ἐνδιασπορά, ἀνάγκη δὲ πῶς ἂν ἶριν ἄντικρυς
τοῦ [illegible] γίνεσθαι. τότε ἡ ὄψις πρὸς προσπίπτουσα ταῖς ῥανίσι
ἀνακλᾶται ὥστε λαμβάνει τὴν ἶριν φασὶ αἱ ῥανίδες
οὐ σχήματα μορφαὶ ἀλλὰ χρωμάτων φαίνουσι. τὸ μὲν
πρῶτον ἔχει φοινικοῦν. τὸ δὲ δεύτερον ἀλουργές. καὶ πορ-
φυρίζον. τὸ δὲ τρίτον κυανοῦν καὶ πράσινον. εἶναι τὸ
δὲ μὲν φοινικοῦν ὅταν ἡ λαμπρὸν τῆς ὄψεως προσπε-
σοῦσα ἀνακλᾷ τὸ χρῶμα. τὸ δὲ δεύτερον μέρος ἐπι-
θολούμενον ἐκλυόμενον μᾶλλον τῆς λαμπηδόνος διὰ τὰς
ῥανίδας ἀλουργὲς δοκεῖ. εἰ δὲ μᾶλλον ἐπιθολοῦται τὸ
πρόσιζον μεταβάλλεται. ἀλλὰ τοῦτο δοκίμασαι
θέλεις. ἀντίπιος τοῦ ἀντίκρυ λαβὼν ὕδωρ καὶ
πτύσον αἱ δὲ ῥανίδες ἀνακλῶνται λάβουσαι πρὸς τὸν
ἥλιον. ὄψεις γινομένην ἶριν. καὶ οἱ ὀφθαλμοὶ τῶν
τοῦτο πάσχουσιν ὡς ὅταν πρὸς τὸν λύχνον ἀποβλέπωσι.
Ἀναξιμένης δὲ ἶριν γίνεσθαι νομίζει κατὰ
ἀνταύγασμα, ὅτι πρὸς νέφει πυκνῷ καὶ παχεῖ
καὶ μέλανι παρὰ τὸ μὴ δύνασθαι τὰς ἀκτῖνας
τοῦ ὑπὲρ διακόπτειν ἐπισταμένας αὐτοῦ. ῥοδοειδὲς
δὲ ὅταν διὰ νέφους ὁ ἥλιος διαλάμψῃ τὸ μὲν
νέφος κυανίζει τὴν δὲ αὐγὴν ἐρυθραίνεσθαί φησι.
Ἀναξιμένης οἴεται ἄνεμον εἶναι **περὶ ἀνέμων.**
λύσιν ἀέρος. τῶν λεπτομερῶν ἐν ἑαυτῷ καὶ ὑγρο-
τέρων ὑπὸ τοῦ ἡλίου τηκομένων ἢ κινουμέ-
νων. στωϊκοὶ πάντα ἀέρα ῥεῦμα λέγουσι καὶ τοῦτον τὸν
τόπον. ἀλλάσσει τὰ ἐπωνυμίας θαλάττης
οἱ τὸ ἀπὸ ζόφου ἐκ τῆς δύσεως ζέφυρον ὠνόμασαν
τὸν ἀπὸ ἀνατολῆς καὶ ἡλίου ἀπηλιώτην. τὸν ἀπὸ τῆς
ἄρκτου βορέαν. τὸν ἀπὸ μεσημβρίας νότον. μὴ
πρὸ ὥρας δὲ ὑδάτων ἀναθυμιάσας διὰ τὴν ἡλιακὴν
ἔκλυσιν γίνεσθαι ὁρμὴν πρῶτον. τοὺς δὲ ἐτησίας
πνεῖν τὸ πρὸ τῆς ἀρκτοῦς πρὸ θέρους τοῦ ἡλίου καὶ
τῆς θερινῆς τροπῆς :- **περὶ χειμῶνος καὶ θέρους** :-

Ἐμπεδοκλῆς καὶ οἱ στωϊκοὶ χειμῶνα μὲν γίνεσθαι
τοῦ ἀέρος ἐπικρατοῦντος τῇ πυκνώσει καὶ
εἰς τοὺς ἄνω βιαζομένου. θέρους δὲ τοῦ πυρὸς
ὅταν εἰς τὸ κάτω βιάζηται. περὶ γῆς.

Θαλῆς καὶ οἱ ἀπ' αὐτοῦ μίαν εἶναι τὴν γῆν ὑπο-
λαμβάνουσι. τῶν δὲ πυθαγορείων τινὲς καὶ
ταύτην εἶναι τὴν ἀντίχθονά φασι. οἱ στωϊκοὶ δὲ
εἶναι μίαν καὶ πεπερασμένην. μητρόδωρος δὲ τὴν
γῆν ὑπόστασιν εἶναι καὶ οἱονεὶ τρύγα τοῦ ἀέρος νο-
μίζει τὸν δὲ ἥλιον τοῦ πυρός. περὶ σχήματος

Θαλῆς δὲ καὶ οἱ ἀπ' αὐτοῦ σφαιροειδῆ τὴν γῆν νομί-
ζουσι. ἀναξίμανδρος δὲ λίθῳ κίονι τῇ περι-
φερείᾳ σκοπῶν ἐπιπέδων. ἀναξιμένης τρα-
πεζοειδῆ. λεύκιππος τυμπανοειδῆ τῶν πλατῶν κοίλην
δὲ τῷ μεγέθει. περὶ θέσεως γῆς.

Οἱ ἀπὸ θαλοῦ μέσην τὴν γῆν οἴονται εἶναι. ξενοφάνης
πρώτην τὴν γῆν εἰς ἄπειρον ἐρριζῶσθαι. φιλόλαος
ὁ πυθαγόρειος τὸ μὲν πῦρ μέσον τοῦτο γὰρ εἶναι τοῦ παν-
τὸς ἑστίαν. ἕτερον δὲ τὴν ἀντίχθονα. τρίτην δὲ τὴν οἰ-
κουμένην, ἐξ ἐναντίας κειμένην τε καὶ περιφερομένην τῇ ἀντί-
χθονι. παρμενίδης ὁ πρῶτος ὁρίσας τῆς οἰκουμένης το-
πους ὑπὸ τὰς δύο ζώνας τροπικὰς εἶναι τὴν γῆν.

Οἱ μὲν ἄλλοι μένειν τὴν γῆν ὑπο- περὶ κινήσεως γῆς.
λαμβάνουσι. φιλόλαος δὲ ὁ πυθαγόρειος κύκλῳ πε-
ριφέρεσθαι. ἡρακλείδης δὲ ὁ ποντικὸς κινεῖ τὴν γῆν [illegible] ἀπὸ
δυσμῶν ἐπ' ἀνατολὰς περὶ τὸ ἴδιον αὐτῆς κίνημα.

Τῶν πυθαγορείων τινὲς τὴν γῆν διαιρεῖσθαι περὶ διαιρέσεως γῆς
τῆς τοῦ παντὸς σφαίρας εἰς πέντε ζώνας. ἀρκτικήν. ἀν-
ταρκτικήν. θερινήν. ὧν ἡ μέση τῆς
ὁρίζει διακεκαυμένη. ἡ δὲ οἰκητὴ ἀνὰ μέσον τῆς θερινῆς
καὶ χειμερινῆς εὔκρατος οὖσα. περὶ σεισμῶν τῆς γῆς.

Θαλῆς καὶ δημόκριτος ὕδατι ταύτην τῶν σεισμῶν προσά-
πτουσι. οἱ στωϊκοὶ σεισμὸν εἶναι λέγουσι τὸ ἐκ τῆς
γῆς ὑγρὸν εἰς ἀέρα διακρινόμενον καὶ ἐκπῖπτον.
ἀριστοτέλης δὲ τὴν τοῦ ψυχροῦ πανταχόθεν ἀντιπερίστασιν

καθάπερ ἐν ἀραιωθέντι αὐτῷ πνεύματος εἰσελθόντος. τὸ δὲ θερμὸν ἀμφοῖν γεννᾶσθαι
ἀτμοειδῆ, ἅτε δὴ κοῦφον ὂν διὰ τοῦ ἐν ἀπολήψει
γινόμενον τῆς ὑγρᾶς ἀναθυμιάσεως τοὺς
σεισμοὺς ποιεῖ. Πλάτων δὲ ἀκίνητον μὲν εἶναι τὴν γῆν
ὑποτίθεται, κατὰ δέ τινας τόπους αὐτῆς τοὺς σεισμοὺς
συμβαίνειν πρὸς [illegible] ἀποκλασθέντος. Περὶ θαλάσσης
Διὰ τί ἁλμυρά ἐστιν. Ἀναξίμανδρος μέν φησι τὴν θά-
λασσαν τῆς πρώτης ὑγρασίας τὸ λείψανον, ἧς τὰ μὲν
πλεῖστα μέρη ἀνεξήρανεν, γλυκὺ ὂν δὲ ὑπολειφθὲν
διὰ τὴν ἔκκαυσιν μετέβαλεν. Ἐμπεδοκλῆς ἱδρῶτα
γῆς καιομένης ὑπὸ τοῦ ἡλίου. Οἱ ἀπὸ Πλάτωνος τοῦ στοιχει-
ώδους ὕδατος ὃ μὲν ἐξαέρωσε κατὰ περίψυξιν ὑποσωι-
ζόμενον γλυκὺ γίνεσθαι. Τὸ δὲ κατὰ περίθραυσιν
καὶ ἔκπυρον ἀναθυμίασιν ἁλμυρὸν εἶναι. Περὶ ἀμπωτίδος καὶ πλημμυρίδος
Ἀ[ριστοτέλης] εἶπον ὑπὸ τοῦ ἡλίου τὰ πλεῖστα τῶν πνευμάτων κινεῖσθαι
καὶ φέρεσθαι, ὑφ' ὧν ἐμβαλλόντων εἰς τὴν Ἀτλαν-
τικὴν θάλασσαν καὶ κατασκευάζειν τὸ πλημμυρεῖν.
λήγοντος δὲ ἀντιπερισπωμένην ὑποβαίνειν, ὅπερ εἶναι τὴν
ἄμπωτιν. Πυθέας ὁ Μασσαλιώτης τῇ πληρώσει τῆς
σελήνης τὰς πλημμυρίδας γίνεσθαι, τῇ δὲ μειώσει τὰς ἀμ-
πώτιδας. Τίμαιος τοὺς ἐμβάλλοντας ποταμοὺς
εἰς τὴν Ἀτλαντικὴν αἰτιᾶται διὰ τῆς Κελτικῆς ὀρεινῆς
προωθοῦντας μὲν ταῖς ἐφόδοις καὶ πλημμυρίαν ποι-
οῦντας, λήγοντος δὲ τὰς ἀμπώτιδας γίνεσθαι.
Θαλῆς τοὺς ἐτησίους ἀνέμους. Περὶ ἀναβάσεως τοῦ Νείλου
ἀντιπνέοντας τῇ Αἰγύπτῳ, καὶ τῇ παροιδή-
σει τοῦ ἀντιπαρήκοντος πελάγους ἀντικόπτεσθαι καὶ
πληθύνεσθαι τὸν Νεῖλον. Εὐθυμένης ὁ Μασσαλι-
ώτης ἐκ τοῦ ὠκεανοῦ καὶ τῆς ἔξωθεν θαλάσσης
πληρούμενον τὸν ποταμὸν οἴεται. Ἀναξαγόρας ἐκ
τοῦ χιόνος τῆς ἐν τῇ Αἰθιοπίᾳ τηκομένης μὲν τῷ
θέρει, ψυχομένης δὲ τῷ χειμῶνι. Δημόκριτος χι-
όνος τῆς πρὸς ἀρκτικοῖς μέρεσιν ὑπὸ θερινὰς
τροπὰς ἀναλυομένης νέφη ἐκ τῶν ἀτμῶν πιλ- 16
οῦσθαι καὶ συνελαυνομένων πρὸς τὴν μεσημβρίαν
ὑπὸ τῶν ἐτησίων ἀνέμων, ἀποτελεῖσθαι ῥαγδαίους
ὄμβρους, ὑφ' ὧν ἐπαίρεσθαι τὸν ὄμβρον. Ἡρόδοτος

καὶ ἰσομεγέθη φέρεσθαι καὶ χρώματι ἐκ τούτων φαίνεσθαι δὲ ἔλαττον τὸν χρώματι. διὰ τὸ ἐν τῷ καιρῷ πλησίον ὄντα τὸν ... ἐξαπλοῦν ἐξαιρεῖσθαι τὰ χρώματα. **περὶ αἰσθήσεως καὶ αἰσθητῶν.**

Κατὰ τοὺς στωικοὺς αἴσθησίς ἐστιν ἀντίληψις αἰσθητοῦ. ἀντίληψις δὲ πολλαχῶς λέγεται ἥ τε ἕξις καὶ δυνάμεις καὶ ἡ ἐνέργεια καὶ ἡ φαντασία καταληπτικὴ καὶ αἰσθητικὴ καὶ αὐτὸ τὸ ἡγεμονικὸν ἀφ' οὗ πάντα αἰσθητήρια ... πράττων τὴν αἴσθησιν ἀναφαίνεται ψυχῆς. τὰ δὲ ὀργανικὰ σώματα κοινωνεῖ πρὸς τὰ ἐκτός. ἡ μὲν τὸ δυνάμεις τῆς ψυχῆς καὶ σώματος κοινωνεῖ πρὸς τὰ ἐκ τῶν ἀφῶν συνελθόντα ἀντιλαμβάνεσθαι καὶ τὸ ἐξωθεν ... καὶ ὁ προκείμενος τὴν αἴσθησιν ἀδύνατον πρόσωπον, ἡ. **εἰ ἀληθὴς ἡ αἴσθησις καὶ ἡ φαντασία.**

Οἱ στωικοὶ τὰς αἰσθήσεις μὲν ἀληθεῖς τῶν δὲ φαντασιῶν τὰς μὲν ἀληθεῖς τὰς δὲ ψευδεῖς. καὶ αἱ μὲν αἰσθήσεις μοναχῶς ψευδοποιοῦνται καὶ τὰ νοήματα διττῶς ... παρὰ αἰσθητὰ λόγοι

Πῶς γίνεται ἡ αἴσθησις καὶ ἡ νόησις καὶ ὁ κατὰ παράθεσιν λογισμός:

Οἱ στωικοί φασιν ὅταν γεννηθῇ ὁ ἄνθρωπος ἔχειν τὸ ἡγεμονικὸν μέρος αὐτοῦ τῆς ψυχῆς ὥσπερ χαρτίον ἐνεργὸν εἰς ἀπογραφήν, εἰς τοῦτο μίαν ἑκάστην τῶν ἐννοιῶν ἐναπογράφεσθαι. πρῶτος δὲ ὁ τῆς ἀπογραφῆς τρόπος ὁ διὰ τῶν αἰσθήσεων αἰσθανόμενοι γάρ τινος οἷον λευκοῦ ἀπελθόντος αὐτοῦ μνήμην ἔχουσιν ὅταν δὲ ὁμοειδεῖς πολλαὶ μνῆμαι φαντασιῶν γένωνται τότε φασὶν ἔχειν ἐμπειρίαν· ἐμπειρία γάρ ἐστι τὸ τῶν ὁμοειδῶν φαντασιῶν πλῆθος. τῶν δὲ ἐννοιῶν αἱ μὲν φυσικῶς γίνονται κατὰ τοὺς εἰρημένους τρόπους καὶ ἀνεπιτεχνήτως, αἱ δὲ ἤδη δι' ἡμετέρας ἐπιμελείας.

αὗται δὲ ἔννοιαι καλοῦνται μόναι καὶ προλήψεις. ὁ δὲ λόγος καθ' ὃν προσαγορευόμεθα λογικοὶ ἐκ τῶν προλήψεων συμπληροῦσθαι λέγεται κατὰ τὴν πρώτην ἑβδομάδα. ἔστι γὰρ νόημα φάντασμα διανοίας λογικοῦ ζῴου. τὸ γὰρ φάντασμα ἐπειδὰν λογικῇ προσπίπτῃ ψυχῇ ἐννόημα καλεῖται, εἰληφὸς τὸ ὄνομα παρὰ

τοῦ γνωστοῦ. διόπερ ὅσα τοῖς ἀλόγοις ζώοις προσπίπτει φαντάσματα μόνον ἐστί· ὅσα δὲ ἡμῖν καὶ τοῖς θεοῖς καὶ τοῖς κατὰ γένος καὶ εἶδος νοήματα. Τί φαντασία [illegible]

Χρύσιππος φησὶ διαφέρειν ἀλλήλων τέτταρα ταῦτα· φαντασίαν, φανταστόν, φανταστικόν, φάντασμα. φαντασία μὲν οὖν ἐστι πάθος ἐν ψυχῇ γινόμενον καὶ ἐνδεικνύμενον αὐτό τε καὶ τὸ πεποιηκός· οἷον ἐπειδὰν ἴδωμεν τὸ λευκόν, ὅ ἐστι πάθος ἐγγενόμενον τῇ ψυχῇ τοῦ πεπονθότος. εἴρηται δὲ φαντασία ἐκ τοῦ φαίνεσθαι αὐτήν τε καὶ τὸ πεποιηκός. φανταστὸν δὲ ἐστὶ φαντασίας, οἷον τὸ λευκὸν καὶ πᾶν ὅ τι ἄλλο ἐστὶ διὰ τῶν αἰσθήσεων δύνασθαι κινεῖν τὴν ψυχὴν φαντασίας ἐστί. φανταστικὸν δὲ διάκενος ἑλκυσμός, πάθος ἐν ψυχῇ ἀπ' οὐδενὸς φανταστοῦ σκιο... φάντασμα δὲ ἐστὶν ἐφ' ὃ ἑλκόμεθα κατὰ τὸ φανταστικὸν διάκενον ἑλκυσμόν. ταῦτα δὲ γίνεται ἐπὶ τῶν μελαγχολικῶν, ὥσπερ ἐπὶ Ὀρέστου καὶ τοῦ παρ' Ὁμήρῳ Θεοκλυμένου. Πῶς ὁρῶμεν [illegible]

Δημόκριτος καὶ Ἐπίκουρος κατὰ εἰδώλων εἰσκρίσεις οἴονται τὸ ὁρᾶν συμβαίνειν· ἕτεροι δὲ κατὰ ἀκτίνων ἔκχυσιν μετὰ τὸ πρὸς τὸ ὑποκείμενον ὑποστρέφουσαν πρὸς τὴν ὄψιν. Ἐμπεδοκλῆς καὶ εἰδώλοις τὰς ἀκτῖνας φησὶν ἀφ' ἑκατέρου τῶν ὀφθαλμῶν ἀποτεινομένας τοῖς πέρασιν αὐτῶν, οἱονεὶ χειρῶν ἐπαφαῖς περικαθαπτούσας τοῖς ἐκτὸς σώμασι τὴν αἴσθησιν πρὸς τὸ ὁρᾶν. Πλάτων κατὰ συναύγειαν, τοῦ μὲν ἐκ τῶν ὀφθαλμῶν φωτὸς ἐπὶ ποσὸν ἀπορρέοντος εἰς τὸν ὁμοιομερῆ ἀέρα. Περὶ κατόπτρων [illegible]

Δημόκριτος καὶ Ἐπίκουρος τὰς κατοπτρικὰς ἐμφάσεις γίνεσθαι κατ' εἰδώλων ὑποστάσεις, ἅπερ φέρεσθαι μὲν ἀφ' ἡμῶν, συνίστασθαι δὲ ἐπὶ τοῦ κατόπτρου κατὰ ἀντιστροφήν. οἱ ἀπὸ Πυθαγόρου κατὰ τὰς ἀνακλάσεις τῆς ὄψεως· φέρεσθαι γὰρ τὴν ὄψιν τεταμένην ὥσπερ ἐπὶ τὸν χαλκόν, ἐντυχοῦσαν δὲ πυκνῷ καὶ λείῳ πληγεῖσαν ὑποστρέφειν. Εἰ ὁρατὸν τὸ σκότος :—

Οἱ Στωικοὶ ὁρατὸν εἶναι δοκοῦσι τὸ σκότος ὑπολαμβάνουσι. ἐκ γὰρ τῆς ὄψεως ἐξικνεῖσθαι εἰς αὐτὸ καὶ οὐ ψεύδεται ἡ ὅρασις. βλέπεται γὰρ τὸ ὑπὸ τοῦ σκότους προέχον.

δὲ ἐκ τῆς ὄψεως ἀπιέναι ὁμιχλῶδες· τὸ μὲν σκότος
συνάγει πως καὶ συγκρίνει τὴν ὅρασιν εἰς ἀμβλύωσιν·
τὸ δὲ φῶς διακρίνει καὶ ποδηγεῖ τὴν ὅρασιν ἡμῶν
ἐπὶ τὰ ὁρατὰ, διὰ τοῦ μεταξὺ ἀέρος. τὸ μὲν ὁρᾶν
ἡμᾶς ἐν σκότει, ἀλλ' αὐτὸ μόνον τὸ σκότος· περὶ ἀκοῆς

Ἐμπεδοκλῆς τὴν ἀκοὴν γίνεσθαι κατὰ πρόσπτωσιν τοῦ
πνεύματος τῷ χονδρώδει, διόπερ ἐξηρτῆσθαι
ἐκ χρωτὸς. κώδωνα ὁπρότερον αἰωρούμενον καὶ τυ-
πτόμενον. Ἀλκμαίων ἀκούειν ἡμᾶς φησὶ τῷ κενῷ τῷ ἐν τῷ ὠτός·
τοῦτο γὰρ εἶναι τὸ περιηχοῦν κατὰ τὴν πρὸς εἰσβο-
λήν· πάντα γὰρ τὰ κοῖλα ἠχεῖν. Διογένης τοῦ ἐν τῇ κεφα-
λῇ ἀέρος ὑπὸ τῆς φωνῆς τυπτομένου. Πλάτων πλήττεσθαι
τὸν ἐν τῇ κεφαλῇ ἀέρα, τοῦτον δ' ἀνακλᾶσθαι εἰς τὸ ἡγεμο-
νικὸν καὶ γίνεσθαι τῆς ἀκοῆς τὴν αἴσθησιν. περὶ ὀσφρήσεως

Ἀλκμαίων ἐν τῷ ἐγκεφάλῳ φησὶν εἶναι τὸ ἡγεμονικὸν· τούτῳ
οὖν ὀσφραίνεσθαι, ἕλκοντι διὰ τῶν ἀναπνοῶν τὰς ὀσμάς.
Διοκλῆς ταῖς ἀναπνοαῖς ταῖς ἀπὸ τῆς πρὸς εἰς τὸ σῶμα
συνεκκρίνεσθαι ὥσπερ ἐπὶ τῶν ἐκματιζομένων· περὶ γεύσεως

Ἀλκμαίων οἴεται τῷ ὑγρῷ τῷ ἐν τῇ γλώττῃ κρίνεσθαι
τοὺς χυμούς. Διογένης τῇ ἀραιότητι καὶ ἀποσυνάπτειν
τὰς διὰ τοῦ σώματος ἐς αὐτὴν βλέβας διαχεῖσθαι τοὺς χυμοὺς
ἑλκομένους εἰς τὴν αἴσθησιν καὶ τὸ ἡγεμονικὸν καθάπερ
ἀπὸ σπογγιᾶς. περὶ φωνῆς

Πλάτων φωνὴν ὁρίζεται πνεῦμα διὰ στόματος ἀπὸ δια-
νοίας ἠγμένον καὶ πληγὴν ὑπὸ ἀέρος διὰ τῶν ὤτων ἐγκε-
φάλῳ καὶ στώματι μέχρι ψυχῆς διαδιδομένην. Οἱ
Στωϊκοί φασι τὸν ἀέρα αὐτὸν συγκεῖσθαι ἀπὸ θραυσμάτων ἀλλὰ
συνεχῆ δι' ὅλου, μηδὲν κενὸν ἔχειν· ἐπειδὰν πληγῇ τῷ πρόσ-
κυματοῦται κατὰ κύκλους εἰς ἄπειρον ἕως πληρώσῃ
τὸν περικείμενον ἀέρα, ὡς ἡ τὴν κολυμβήθραν τῇ
πληγῇ λίθου εἰς κινουμένης κυκλοειδῶς εἰς σφαιροειδῶς.
Ἀναξαγόρας τὴν φωνὴν γίνεσθαι πνεύματος ἐμπεσόντος
μὲν στερεμνίῳ ἀέρι τῇ δὲ ὑποστροφῇ τῆς πλήξεως
μέχρι τῶν ἀκοῶν προσενεχθέντος καθὸ καὶ τὴν λεγομένην
ἠχὼ γίνεσθαι. εἰ ἀσώματος ἡ φωνὴ καὶ πῶς ἠχώ:

Πυθαγόρας καὶ Πλάτων καὶ Ἀριστοτέλης ἀσώματον ἄγουσι

17

τὴν φωνὴν ὑπολαμβάνουσιν οὔτε τὸν ἀέρα· τὸ δὲ περὶ τὸν ἀέρα καὶ τὴν ἐπιφάνειαν κατὰ ποιὰν γίνεσθαι πλῆξιν τὴν φωνήν. Οἱ δὲ Στωικοὶ σῶμα εἶναι τὴν φωνήν· πᾶν γὰρ τὸ δρῶν ἢ ποιοῦν σῶμα εἶναι· καὶ γὰρ ἡ φωνὴ σῶμα ποιεῖ· ἀκούομεν γὰρ αὐτῆς καὶ αἰσθανόμεθα προσπιπτούσης· πᾶν δὲ κινοῦν καὶ ἐνοχλοῦν σῶμά ἐστι. πόθεν γίνεται αἰσθητικὴ ἡ φωνή

Οἱ Στωικοί φασιν εἶναι τῆς ψυχῆς μέρος ἀνώτατον τὸ ἡγεμονικόν, ἀπὸ δὲ τοῦ ἡγεμονικοῦ ἐστι τὸ πνεῦμα ἐπὶ τὰ ἄλλα μέρη ψυχῆς ἃ ποιεῖ τὴν αἴσθησιν ἐνεργεῖν· εἶτα ὅρασιν εἶναι λέγουσι πνεῦμα διατεῖνον ἀπὸ ἡγεμονικοῦ μέχρις ὀφθαλμῶν· ἀκοὴν δὲ πνεῦμα διατεῖνον ἀπὸ τοῦ ἡγεμονικοῦ καὶ μέχρι τῶν ὤτων· τῶν δὲ λοιπῶν τὸ μὲν σπερματικὸν ὅπερ καὶ αὐτὸ πνεῦμά ἐστι διατεῖνον ἀπὸ τοῦ ἡγεμονικοῦ· φωνητικὸν μέχρι φάρυγγος καὶ γλώττης. αὐτὸ δὲ τὸ ἡγεμονικὸν εἶναι ἐν τῷ [illegible] κεφαλῇ. περὶ ἀναπνοῆς

Ἀσκληπιάδης αἰτίας τῆς ἀναπνοῆς εἶναί φησι τῆς ἐν τῷ θώρακι λεπτομερείας πρὸς ἣν τὸν ἔξωθεν ἀέρα εἰσρεῖν καὶ καθέλκεσθαι παχυμερέστερον ὄντα, πάλιν δὲ ἀπωθεῖσθαι μηκέτι τοῦ θώρακος ποιοῦντος τὴν ὑποδοχήν. ὑπολειπομένης δέ τινος ἐν τῷ σώματι λεπτομερείας ἀεὶ βραχέως, οὔτε ἅπαν ἐκκρίνεσθαι καὶ πρὸς τοῦτο πάλιν τὸ ὑπομένον τὸ βαρὺ τοῦ ἔξωθεν ἀντεπιφέρεσθαι· ταῦτα δὲ εἰκάζει ταῖς σικύαις. τὴν δὲ κατὰ προαίρεσιν ἀναπνοὴν γίνεσθαι συναγομένων τῶν ἐν τῷ πνεύμονι πόρων τῶν τε τῆς ἡμετέρας προαιρέσεως ὑπακουόντων. Ἡρόφιλος δὲ ἀπολείπει τὰ σώματα κινητικὰ ἐν νεύροις, ἐν ἀρτηρίαις, ἐν μυσί· τοῦ πνεύμονος νομίζει προαιρεῖσθαι διαστολῆς καὶ συστολῆς φυσικὴν ἐνέργειαν, συνάπτει τοῦ πνεύμονος τὴν ἔξωθεν ὁλκὴν τοῦ πνεύματος. ὑπὸ δὲ τῆς πληρώσεως τῆς ἔξωθεν γινομένης ἐφέλκεσθαι μὲν δευτέρως τὸν θώρακα τοῦ πνεύματος ἀναπέμπ

τὸ δὲ τοῦ ὀξέως ἔξωθεν ἀέρα ἀπαρ... περὶ παθῶν

Ἐπίκουρος τὰ πάθη καὶ τὰς αἰσθήσεις ἐν τοῖς πεπονθόσι τόποις. τὸ δ' ἡγεμονικὸν ἀπαθὲς εἶναι νομίζει. Στράτων δὲ καὶ τὰ πάθη τῆς ψυχῆς καὶ τὰς αἰσθήσεις ἐν τῷ ἡγεμονικῷ, οὐκ ἐν τοῖς πεπονθόσι τόποις συνίστασθαι τῶν δεινῶν καὶ τῶν ἀλγεινῶν τὴν ἐνέργειαν.

Πλάτων καὶ οἱ στωικοὶ τὴν μαντικὴν: περὶ μαντικῆς

εἰσάγουσι εἰς τὸ θεόπεμπτον εἶναι ὅπερ ἐστὶν ἐνθεαστικὸν καὶ κατὰ θειότητα τῆς ψυχῆς ὅπερ ἐστὶν ἐνθουσιαστικὸν καὶ τὸ ὀνειροπολικὸν καὶ τὸ ἀστρονομικὸν καὶ τὸ οἰωνοσκοπικόν. Ξενοφάνης καὶ Ἐπίκουρος ἀναιροῦσι τὴν μαντικήν. Πυθαγόρας δὲ μόνον τὸ πυθικὸν. ἀρ καὶ δικαίαρχος τὸ κατ' ὀνείρους εἰσάγουσι, ἀθάνατον μὲν τὴν ψυχὴν οὐ νομίζοντες, θείου δέ τινος μετέχειν:

Δημόκριτος ὀνείρους γίνεσθαι κατὰ περὶ ὀνείρων γινομένων

τὰς τῶν εἰδώλων παραστάσεις. Στράτων ἄλλῃ τινὶ φύσει τῆς διανοίας ἐν τοῖς ὕπνοις αἰσθητικωτέρας μὲν τῆς ψυχῆς γινομένης, διὰ δὲ τοῦτο γνωστικῆς γινομένης. Ἡρόφιλος τῶν ὀνείρων τοὺς μὲν θεοπέμπτους γίνεσθαι κατ' ἀνάγκην. τοὺς δὲ φυσικοὺς ἀνειδωλοποιουμένης τῆς ψυχῆς τὸ συμφέρον αὐτῇ καὶ τὸ πάντως ἐσόμενον. τοὺς δὲ συγκριματικοὺς ἐκ τοῦ αὐτομάτου κατ' εἰδώλων ἐστὶ πρόσπτωσιν ὅταν ἃ βουλόμεθα βλέπωμεν ὡς ἐπὶ τῶν φιλούντων γίνεσθαι τῶν ἐρωμένων ἐρώντων ἐν ὕπνοις. περὶ οὐσίας σπέρματος

Ἀ εἶναι τὸ σπέρμα ἀρ φησὶ οἷον τὸ ἐξ οὗ συνεκρίθη. Πυθαγόρας ἀφρὸν τοῦ χρηστοτάτου αἵματος, ἢ περίττωμα τῆς τροφῆς. Ἀλκμαίων ἐγκεφάλου μέρος. Πλάτων τοῦ νωτιαίου μυελοῦ ἀπόρροιαν. Ἐπίκουρος ψυχῆς καὶ σώματος ἀπόσπασμα. Δημόκριτος ἀφ' ὅλων τῶν σωμάτων καὶ τῶν κυριωτάτων μερῶν οἷον τῶν σαρκίνων, ὀστῶν, ἰνῶν. εἰ σῶμα τὸ σπέρμα

Λεύκιππος καὶ Ζήνων σῶμα εἶναι ψυχῆς ἀπόσπασμα. Πυθαγόρας καὶ Πλάτων καὶ ἀρ ἀσώματον μὲν εἶναι τὴν

δύναμιν τοῦ σπέρματος, σωματικὴν δὲ ὅλην τὴν πα-
ρεσκευασμένην. Στράτων καὶ Δημόκριτος καὶ τὴν δύναμιν εἶναι σωματικήν.

Εἰ τὰ θήλεα προΐεται σπέρμα

Πυθαγόρας καὶ Δημόκριτος καὶ Ἐπίκουρος καὶ
τὸ θῆλυ προΐεσθαι· καὶ ἀπὸ τοῦ σπέρμα ἔχει τοὺς παρα-
στάτας ἀπεστραμμένους, διὰ τοῦτο ὀρεκτικῶς ἔχει
περὶ τὰς χρήσεις. Ἀριστοτέλης καὶ Ζήνων, ὕλην μὲν ὑγρὰν
προΐεσθαι καὶ ἀπὸ τῆς γυμνασίας ἱδρῶτος, οὐ μὴν
σπέρμα πεπτικόν.

Πῶς αἱ συλλήψεις γίνονται

Ἀριστοτέλης ὑπολαμβάνει τὰς συλλήψεις γίνεσθαι, προεξελ-
κομένου ἀπὸ τῆς καθάρσεως τῆς μηνιαίας· τοῦ
δὲ κατὰ μηνῶν ἐπισπωμένης ἀπὸ παντὸς τοῦ σώματος
μέρους τινὸς τοῦ καθαροῦ αἵματος, ᾧ συμβάλλει τὸ τοῦ ἄρρενος
γόνον. μὴ δύνασθαι μὴ γίνεσθαι τὰς κυήσεις ἐπὶ καθαρσίαν,
μήτρας, ἢ ἐμπνευματώσεως ἢ φόβου ἢ λύπης ἢ
ἀσθενείας τῶν γυναικῶν ἢ δι᾽ ἀτονίαν τῶν ἀνδρῶν.

Πῶς ἄρρενα καὶ θήλεα γίνεται

Ἐμπεδοκλῆς καὶ Ἀσκληπιάδης, οἴεται ἄρρενα καὶ θήλεα
γίνεσθαι παρὰ θερμότητα καὶ ψυχρότητα· ὅθεν ἱστορεῖται
τοὺς πρώτους πρὸς τοὺς ἄρρενας, ἀπὸ ἀνατολῆς καὶ μεσημ-
βρίας γίνεσθαι τῆς γῆς. τὰ δὲ θήλεα πρὸς τὰς ἄρκτους.
Παρμενίδης δὲ ἀντιστρέφει· πρὸς τὰς ἄρκτους ἄρρενα
γίνεσθαι· τοῦ γὰρ πυκνοῦ μετέχειν πλείονος· τὰς δὲ πρὸς τὰς
μεσημβρίας διὰ ἀραιότητα. Ἱππόναξ δὲ ἂν μὲν ἡ γονὴ
κρατήσῃ, ἄρρεν, ἂν δὲ ἡ ὕλη, θῆλυ.

Πῶς τέρατα γίνονται

Ἐμπεδοκλῆς νομίζει σπέρματος ἔλλειμμα ἐπὶ τῆς τῆς
κινήσεως ταραχὴν ἢ παρὰ τὴν εἰς πλείω διαίρεσιν
ἢ ἐπὶ ἀποπνεύσει τέρατα γίνεσθαι. Στράτων ἐπὶ
ἢ ἐμπνευματώσει. τῶν ἰατρῶν δέ τινες παρὰ τὸ
διαστρέφεσθαι τὴν μήτραν ἐμπνευματουμένης.

Διὰ τί γυνὴ πολλάκις συνουσιάζουσα οὐ συλλαμβάνει

Διοκλῆς ἰατρὸς παρὰ θερμασίαν ἢ ψῦξιν ἢ ὑγρασίαν
ἢ ξηρότητα ἢ πλεονασμὸν ἢ ἔνδειαν ἢ παράλυσιν τῶν
μορίων. οἱ στωϊκοὶ παρὰ λοξότητα τῶν μορίων. Ἐρασίστρατος
ἐπὶ τὴν μήτραν ὅταν τύλους ἔχῃ ἢ σάρκας ἢ ἀραιο-
τέρα ἢ μικροτέρα τυγχάνῃ οὖσα.

Πῶς δίδυμοι γίνονται

Ἐμπεδοκλῆς οἴεται δίδυμα καὶ τρίδυμα γίνεσθαι κατὰ πλεονασμὸν τοῦ σπέρματος. ἀσκληπιάδης ἐπὶ τὴν τοῦ σπέρματος διαφοράν, ὥσπερ τὰς κριθὰς τὰς διστίχους καὶ τριστίχους. οἱ στωϊκοὶ ἐπὶ τοὺς ἐν τῇ μήτρᾳ τόπους, ὅτε γὰρ εἰς τὸν πρῶτον καὶ δεύτερον ἐμπέσῃ σπέρμα, τότε γίνεσθαι τὰς ἐπισυλλήψεις διδύμους καὶ τριδύμους:

Πόθεν γονεῦσι καὶ προγόνοις ὅμοιοι γίνονται:

Ἐμπεδοκλῆς ὁμοιότητας ὧδε γίνεσθαι κατ' ἐπικράτειαν τοῦ σπέρματος. ἀνομοιότητα δὲ ὅτε μὲν ἀπὸ τῶν δεξιῶν μερῶν τῆς μήτρας τὸ σπέρμα προτεθῇ τοῖς πατράσι. ὅτε δὲ ἀπὸ ἀριστερῶν ταῖς μητράσι. οἱ στωϊκοὶ ἀπὸ σώματος ὅλου καὶ ψυχῆς φέρεσθαι τὸ σπέρμα. καὶ τὰς ὁμοιομερείας ἀναπλάττεσθαι ἐξ αὐτῶν τῶν τόπων τοὺς χαρακτῆρας. ὡς ζωγραφίαν ἀπὸ τῶν ὁμοίων χρωμάτων ὁμοιότητα: τῶν τικτόντων δὲ προΐεσθαι δὲ τὴν γυναῖκα σπέρμα κἂν ἐπικρατῇ τῆς γυναικὸς ὅμοιον εἶναι τῇ μητρί:

Πῶς ἄλλοις ὅμοια γίνονται τῶν γεννησάντων:

Οἱ μὲν πλεῖστοι τῶν ἰατρῶν τυχικῶς καὶ ἐκ τοῦ αὐτομάτου. ὅταν διαψυχθῇ τὸ σπέρμα τό τε τοῦ ἀνδρὸς καὶ γυναικὸς ἀνόμοια γίνεσθαι. Ἐμπεδοκλῆς δὲ τῇ κατὰ τὴν σύλληψιν ὁρμῇ τε καὶ φαντασίᾳ τῆς γυναικὸς μορφοῦσθαι τὰ βρέφη, πολλάκις γὰρ ἀνδριάντων τε καὶ εἰκόνων ἠράσθησαν. καὶ ὅμοια τούτοις τέτοκαν οἱ στωϊκοὶ δὲ κατὰ συμπάθειαν τῆς διανοίας καὶ ῥευμάτων τε καὶ ἀκτίνων ἀσκρίσιν γίνεσθαι τὰς ὁμοιότητας:

Πῶς στεῖραι γίνονται αἱ γυναῖκες καὶ ἄγονοι οἱ ἄνδρες:

Οἱ ἰατροὶ στείρας φασὶ γίνεσθαι, παρὰ τὴν στερεὰν μήτραν πυκνοτέραν ἢ ἀραιοτέραν, ἢ διάστροφον ἐκ τοῦ σχηματισμοῦ, ἢ ἐπὶ παρέσεως δυσκρασίαν μοχθηράν. Διοκλῆς διὰ τοὺς τῶν ἀνδρῶν. ἢ διὰ τὸ μὴ δύνασθαι προΐεσθαι γονήν. ἢ ἐπὶ ἔλαττον ἢ τοῦ δέοντος. ἢ παρὰ τὸ ἄγονον εἶναι καθάπερ ἐκλύσει τῶν μορίων. οἱ στωϊκοὶ αἰτιῶνται τὰς συμφύτους ἀσ ἑκάτερον τῶν πλησιαζόντων δυνάμεσι καὶ ποιότητι:

Ἀλκμαίων τῶν ἡμιόνων τοὺς ἄρρενας ἡμιόνους ἀγόνους:

ἄρρεν, ἀγόνους εἶναι διὰ τὴν λεπτότητα τῆς σαρκὸς καὶ ψυ-
χρότητα· τὰς δὲ θηλείας ἐπὶ ἀγώνι μὴ ἀνακόπτουσας τὰς
μήτρας. Ἐμπεδοκλῆς δὲ διὰ τὴν σμικρότητα καὶ στενότητα τῆς
μήτρας ἀπεστραμμένην πρὸς τὸ πεφυκέναι τῇ σαρκί. Δι-
οκλῆς δὲ μάρτυς λέγει ἑωρακέναι τοιαύτην μήτραν
ἐν ἀνατομαῖς τῶν ἡμιόνων· καὶ ἐνδέχεσθαι διὰ τὰς τοι-
αύτας αἰτίας καὶ τὰς γυναῖκας στείρας εἶναι. εἰ τὸ ἔμβρυον ζῷον

Πλάτων ζῷον εἶναι τὸ ἔμβρυον· ἐμπεριλήψει γὰρ τὸ ἔγκυον κινεῖσθαι
ἐν γαστρὶ καὶ τρέφεσθαι καὶ αὔξεσθαι. Οἱ στωϊκοὶ
μέρος εἶναι τὰς πρὸ τὸ ἔμβρυον, ἄψυχον εἶναι
ἐν γαστρί· πρώτην δὲ ἀναπνοὴν τοῦ ζῴου γίνεσθαι
κατὰ τὴν ἀποκύησιν, τῆς μὲν ἐπὶ τὰ βρέφη ὑγρασίας
ἀποχωρούσης τῇ εἰσόδῳ τοῦ ἐκτὸς ἀέρος γινομένης
ἀπὸ παροιχθέντων τῶν αἰτίων· διὸ τίκτεσθαι μὲν τὰ βρέφη
ἐνθερμανθέντος τοῦ ἐμφύτου θερμοῦ· εὐθέως προ-
χυθέντος τοῦ βρέφους τὸ ψυχρὸν ἀπὸ πνεύμονος ἐφέλ-
κεσθαι. Ἡρόφιλος κίνησιν ἀπολείπει φυσικὴν ἐν τοῖς
ἐμβρύοις, οὐ πνευματικήν· τῆς δὲ κινήσεως αἰτίας
τὰ νεῦρα· τότε δὲ ζῷον γίνεσθαι, ὅταν προχυθὲν προσλάβῃ
τοῦ ἀέρος. πῶς τρέφεται τὰ ἔμβρυα ἐμφυτα

Δημόκριτος καὶ Ἐπίκουρος διὰ τοῦ σώματος τρέφεσθαι· εὐθὺς
γοῦν ἐπὶ τὸν μαζὸν φέρεσθαι τῷ σώματι· εἶναι γὰρ
καὶ ἐν τῷ σώματι θηλὰς ἐπιγεγονυίας καὶ στόματα
δι' ὧν τρέφεσθαι. Οἱ στωϊκοὶ διὰ χορίου καὶ ὀμφαλοῦ·
ὅθεν τοῦτον εὐθέως ἀποδεῖν· ἵνα διὰ τοῦ στόματος αἰσθητῶς
τρέφηται. τί πρῶτον τελεοῦται τοῦ βρέφους

Οἱ στωϊκοὶ ἅμα ὅλον γίνεσθαι νομίζουσι. Ἀριστοτέλης τὴν
ὀσφὺν ὥσπερ τρόπιν νεώς. Ἀλκμαίων τὴν κεφαλὴν
ἐν ᾗ ἐστι τὸ ἡγεμονικόν. οἱ ἰατροὶ τὴν καρδίαν ἐν ᾗ καὶ
φλέβες καὶ ἀρτηρίαι. οἱ δὲ τὸν μέγαν δάκτυλον τοῦ
ποδός. οἱ δὲ τὸν ὀμφαλόν. διὰ τί ἑπτάμηνα γόνιμα

Δ[illegible] καὶ Ἱπποκράτης οἴεται ἐὰν πληρωθῇ ἡ μήτρα
ἐν τοῖς ἑπτὰ μησὶ τοῦ προκύπτειν καὶ τότε γόνιμον
εἶναι. ἐὰν δὲ προκύψῃ μὲν ἡ μήτρα φαίνεται ἀσθενῆ
σαρκῶν·

τοῦ ὀμφαλοῦ διὰ τὸ ἐπίπονον αὐτὸ γίνεσθαι. ἐὰν δὲ
μὴ γένηται ἐννέα μηνῶν ἐν τῇ μήτρᾳ προκύπτει τὸ
ὁλόκληρον ἐστί. πολύβιος ζν. ε. π. β. ἡμέρας
γίνεσθαι γόνιμα τὰ ἔμβρυα. τὰ δὲ ὀκτάμηνα
μὴ ζῆν. οἷον προκύψαντος τὸ βρέφος τῆς μήτρας, ἐπὶ
πλεῖον τε ὁ ὀμφαλὸς ἐβασανίσθη διασπώμενος.
ἀσθενὲς τὸ ἔμβρυον τὸ τρέφοντος αἴτιος ὁ
ὀμφαλός. οἱ δὲ μαθηματικοὶ τὰς ὀκτὼ μῆνας
φασὶ ὑστερεῖσθαι πάσης γενέσεως. τοὺς δὲ ἑπτὰ
συνδετικούς. τὰ δὲ ἀσύνθετα ζῴα διέχ... τοὺς
οἰκοδεσπότας φαύλους τῶν ἀστέρων. ἂν τὸ πεσεῖν
τούτων τὴν ζωὴν καὶ τὸν βίον πληρῶσαι διὰ τύχης ἔσεσθαι
σημεῖα. ἀσύνδετα δὲ ἐστὶ ζώδια ὀκτὼ ἀριθμού
μενα. κριὸς. παρθένος. ἀσύνθετοι δὲ δίδυμοι
πρὸς σκορπίον καὶ καρκίνον. πρὸς ὑδροχόον. ἔστω
πρὸς ἰχθῦς διοκλῆς καὶ ἐπίκουρος καὶ τὸν ὄγδοον μῆνα
φασὶ γόνιμον ἀγόνων δέ. τίμαιος δὲ καὶ δωδεκάμηνα φέρ
κύεσθαι τινά. π τ ἐπισχεθὲν τὰ καταμήνια τὰ πρὸ
τῆς συλλήψεως. ὅ κἂν καὶ ἑπταμήνου γενέσθαι. οὐκοῦν
προειρημένης τῆς συλλήψεως διωρισμένης δὲ
τῆς μήτρας ἄσ καταμήνια καὶ μετὰ σύλληψιν:

πῶς ἐγένετο τὰ ζῷα καὶ ἡ φθορά.

Ἐπίκουρος ἀ ἐγένετο ὁ κόσμος γεννητὰ καὶ τὰ ζῷα.
καὶ ἄφθαρτα γεννητὸν ἐν μεταβολῇ τῆς ἀλλήλων
γίνεσθαι μέρους τὸ εἶναι τὸν κόσμον ταῦτα ὡς ἀναξαγόρας
καὶ εὐριπίδης. ἄλλης δὲ οὐδὲν τῶν γινομένων. διακρινόμενα
δ᾽ ἄλλος πρὸς ἄλλο μορφὰς ἑτέρας ἐπέδειξε. δημόκριτος
γεγενημένα εἶναι τὰ ζῷα: πόσα γένη ζῴων:

Πλάτων καὶ ἀριστοτέλης δ. εἶναι ζῴων γένη χερσαῖα.
ἔνυδρα. πτηνά. οὐράνια: καὶ τὸ τὰ ἄστρα ζῷα εἶναι.
καὶ αὐτὸς ὁ κόσμος ζῷον λογικὸν ἀθάνατον. πυθα
γόρας καὶ πλάτων λογικὰς μὲν εἶναι καὶ τὰς τῶν
ἄλλων ζῴων τῶν ἀλόγων καλουμένας ψυχάς, οὐ μὴν

λόγῳ ἐνεργεῖ διὰ τὴν δυσκρασίαν τῶν σωμάτων καὶ διὰ τὸ μὴ ἔχειν τοὺς φραστικοὺς λόγους, ὥσπερ ἐπὶ τῶν πιθήκων καὶ κυνῶν· νοοῦσι μὲν, οὐ δύνανται δὲ φράζειν ἃ νοοῦσι :· ἐν πόσῳ χρόνῳ ζωοποιοῦνται τὰ βρέφη καὶ μορφοῦνται

Ἐμπεδοκλῆς ἐπὶ μὲν τῶν ἀνθρώπων ἄρχεσθαι διαρθρώσεως ἀπὸ τῆς ἕκτης καὶ τριακοστῆς ἡμέρας, τελειοῦσθαι δὲ τὰ μόρια ἀπὸ μα΄. Ἀσκληπιάδης δὲ ἐπὶ μὲν τῶν ἀρρένων, διὰ τὸ θερμοτέραν εἶναι τὴν κρᾶσιν, τὴν διάρθρωσιν γίνεσθαι ἀπὸ ἕκτης καὶ εἰκοστῆς, πληροῦσθαι δὲ ἀπὸ τῆς μ΄· τῶν δὲ θηλειῶν ἐν τῇ τετάρτῃ μηνὶ γίνεσθαι τὴν διάρθρωσιν διὰ τὸ ἐνδεὲς τοῦ θερμοῦ.

ἐκ ποίων στοιχείων συνίσταται ἕκαστον τῶν ἐν ἡμῖν μορίων

Ἐμπεδοκλῆς τὰς μὲν σάρκας γίνεσθαι ἐκ τῶν ἰσοκρατῶν τῶν δ΄ στοιχείων· τὰ δὲ νεῦρα ἐκ πυρὸς καὶ γῆς ὕδατι διπλασίονι μιχθέντων· τοὺς δὲ ὄνυχας γίνεσθαι τοῖς ζῴοις ἐκ τῶν νεύρων καθὸ τῷ ἀέρι συνέτυχε ψυχθέντων τῶν λοιπῶν στοιχείων. ἱδρῶτα δὲ δάκρυον γίνεσθαι τηκομένου τοῦ αἵματος καὶ διὰ τὸ λεπτύνεσθαι διαχεομένου :·

πότε ἄρχεται τῆς τελειότητος ὁ ἄνθρωπος

Ἡράκλειτος καὶ οἱ Στωικοὶ ἄρχεσθαι ἡμᾶς τῆς τελειότητος περὶ τὴν δευτέραν ἑβδομάδα, περὶ ἣν ὁ σπερματικὸς κινεῖται πόρος. καὶ γὰρ καὶ τὰ δένδρα τελειοῦται ὅταν ἄρχηται καρποὺς φέρειν· ἀεὶ ὁ τέλ(ειος) δὲ καὶ τὴν πρώτην ἑβδομάδα, καθ' ἣν ἔννοια γίνεται καλῶν τε καὶ αἰσχρῶν καὶ διδασκαλίας ἀρχή. ἕτεροι δὲ νομίζουσι τελειοῦσθαι ἡμᾶς τῇ τρίτῃ ἑβδομάδι, ὅτε γεύσει ἀσκοῦμεν καὶ τῇ ἰσχύι χρώμεθα.

πῶς ὕπνος γίνεται καὶ θάνατος

Ἀλκμαίων ἀναχωρήσει τοῦ αἵματος εἰς τὰς αἱμορρόους φλέβας ὕπνον γίνεσθαι, τὴν δὲ παντελῆ ἀναχώρησιν διὰ ψύξεως θάνατον φέρειν. Ἐμπεδοκλῆς τὸν μὲν ὕπνον κατάψυξιν τοῦ ἐν τῷ αἵματι θερμοῦ σύμμετρον, τὴν ἐπαπελθ[…] θάνατον. Πλάτων καὶ οἱ Στωικοὶ τὸν μὲν ὕπνον γίνεσθαι ἀνέσει τοῦ αἰσθητικοῦ αἵματος.

ὅταν

ὅταν δὲ παντελὴς γένηται ἡ ἄνεσις τῆς αἰσθήσεως, πρὸς θάνατον συμβαίνειν:-

πότερον ὕπνου ἢ θανάτου τὸ σῶμα ἢ τῆς ψυχῆς

Ἀριστοτέλης τὸν ὕπνον κοινὸν σώματος εἶναι καὶ ψυχῆς· αἴτιον δὲ αὐτοῦ ἀναθυμιᾶσθαι, ἀπὸ θώρακος ὑγρὸν ἀστὸ εἰς τὸν κεφαλῆς τόπον ἐκ τῆς ὑποκαιομένης τροφῆς· θάνατον δὲ γίνεσθαι διὰ τῆς παντελοῦς καταψύξεως. Ἀναξαγόρας κατὰ κόπον τῆς σωματικῆς ἐνεργείας γίνεσθαι τὸν ὕπνον· σωματικὸν γὰρ εἶναι τὸ πάθος· εἶναι δὲ καὶ τῆς ψυχῆς θάνατον χωρισμόν:-

πῶς αὔξεται τὰ φυτὰ εἰ ζῷα

Θαλῆς καὶ Πλάτων τὰ φυτὰ ἔμψυχα ζῷα· φανερὸν δὲ ἐκ τοῦ σαλεύεσθαι καὶ ἐν ταῖς συναγωγαῖς ἠκαμμένη βίᾳ καὶ πάλιν σφοδροῦς ἀναχαλᾶσθαι, ὥστε καὶ συνέλκειν βάρη. Ἀριστοτέλης ἔμψυχα μὲν οὐ ζῷα, ὁρμητικὰ τε καὶ αἰσθητικά. ἔνια δὲ ἔμψυχα. πάντως τὸ ὁρμητικὸν ψυχὴν ἄρα αὐτὸ γεγενῆσθαι δίχα ψυχῆς. Ἐμπεδοκλῆς τὰ δένδρα πρῶτον τῶν ζῴων ἀναφῦναι ὀλίγον τὴν ποιότητα διὰ δὲ ἀμετρίαν τῆς κράσεως τὴν ἄρρενος καὶ θήλεος περιέχειν λόγον· αὔξεσθαι δὲ ὑπὸ τοῦ ἐν τῇ γῇ θερμοῦ διαιρουμένου, ὥστε γῆς εἶναι μέρη· ὡς καὶ τὰ ἔμβρυα τὰ ἐν τῇ γαστρὶ τῆς μήτρας εἶναι μέρη· τοὺς δὲ καρποὺς περιττώματα εἶναι τοῦ ἐν τοῖς φυτοῖς ὕδατος καὶ πυρός· καὶ τὰ μὲν ἐλλιπὲς ἔχοντα τὸ ὑγρὸν ἐξικμαζομένου τούτου τῷ θέρει φυλλορροεῖν· τὰ δὲ τέλειον παραμένειν ἀειθαλῆ ὥσπερ ἐπὶ τῆς δάφνης καὶ τῆς ἐλαίας· τὰς δὲ διαφορὰς τῶν χυμῶν παραλλαγὰς γίνεσθαι τῆς πολυμερείας καὶ τῶν φυτῶν διαφόρως ἑλκόντων τὰς ἀπὸ τοῦ τρέφοντος ὁμοιομερείας· ὥσπερ ἐπὶ ἀμπέλων· οὐ τούτων αἱ διαφοραὶ τούτων ποιοῦσι τὸν οἶνον διαλλάττειν, ἀλλὰ τοῦ τρέφοντος ἐδάφους.

πῶς ὁ πυρετὸς ἐπιγίνεται

Ἐρασίστρατος ὁρίζεται τὸν πυρετὸν κίνημα αἵματος παρεμπεπτωκότος ἀστὰ τοῦ πνεύματος ἀγγεῖα, ἀπροαιρέτως γινόμενον· καθάπερ ἐπὶ θαλάττης, ὅταν μὴ κινῇ αὐτὴν, ἠρεμεῖ. Διοκλῆς ἐπιγένημα εἶναι τὸν πυρετόν, ἐπιγίνεσθαι δὲ τραύματι καὶ βουβῶνι. Ἡρόδοτος φησὶν ἐνδεχόμενον καὶ προηγησάμενον πυρετὸν γίνεσθαι:-

περὶ νόσων

Διοκλῆς ἀντιπλάσσων τὰς νόσους διὰ ἀνωμαλίαν γίνεσθαι τῶν ἐν τῷ σώματι στοιχείων καὶ τοῦ καταστήματος. Ἐρασίστρατος διὰ πλῆθος τροφῆς γίνεσθαι τὰς νόσους:-

Οἱ στωικοὶ καὶ ἰατροὶ παρὰ τὴν τοῦ θερμοῦ ἀπορροὴν γηρᾶν. Ἀσκληπιάδης φησὶ τοὺς Αἰθίοπας γηρᾶν λʹ διὰ τὸ ψύχεσθαι τὰ σώματα ὑπὸ τοῦ ☉ διαφλεγόμενα. Τοὺς δὲ ἐν τῇ Βρεττανίᾳ ρκʹ ἐτῶν γηρᾶν διὰ τὸ συνέχειν αὐτοὺς τὸ πυρῶδες. Τὰ μὲν γὰρ τῶν Αἰθιόπων σώματα ἀραιότερα εἶναι κεχαλάσθαι ὑπὸ τοῦ ☉. Τὰ δὲ ὑπὸ τὴν ἄρκτον πεπυκνῶσθαι, καὶ διὰ τοῦτο πολυχρόνια. Τέλος :—

V7

